BIBLIOTHECA

SCRIPTORVM GRAECORVM ET ROMANORVM

TEVBNERIANA

SOPHOCLIS

OEDIPVS COLONEVS

TERTIVM EDIDIT

R. D. DAWE



STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MCMXCVI

Die Deutsche Bibliothek — CIP-Einheitsaufnahme

Sophocles:
Oedipus Coloneus / Sophocles. — 3. ed. / R. D. Dawe. —
Stutgardiae ; Lipsiae : Teubner, 1996
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-8154-1814-3
NE: Dawe, Roger D. [Hrsg.]

Printed in Germany
Satz: DW & ID Repro- und Satzzentrum GmbH
Druck: Winkler druck GmbH, Gräfenhainichen
Buchbinderei: Christian Biener, Dessau

PRAEFATIO

Codices qui Trachinias, Antigonen, Philocteten Oedipumque Coloneum exhibent multo pauciores sunt illis qui triadem quae vocatur Byzantina. qui adhibendi essent quique neglegendi ex duobus praesertim subsidiis constituimus: collationibus videlicet librorum Antigones ab E. Christiano Kopff[1] Oedipodisque Colonei a G. Speake[2] confectis. quod ad Trachinias attinet, lectiones ex aliquot codicibus selectas iam dudum patefecit W. Subkoff[3]. editoris opus facilius reddiderunt etiam collationes Philoctetae librorum **GQR** quas publici iuris fecit Patricia Easterling[4]. multa tamen restabant nobis perficienda, atque multa iam ab his quos nominavimus lustrata iterum peragrare nobis aequum esse videbatur. alio autem modo rem gessimus atque in triade: nam cum lectionum minutias discrepantium impertire nobis non propositum esset, non codices ipsos sed imagines *ξηρογράφους* plerumque domi excussimus. quotiens autem ex his minus clarum erat quid in libris Parisinis scriptum esset, per *αὐτοψίαν* certiores facti sumus; eodem munere functus codices Flo-

1 A Collation and Description of the Manuscripts of Sophocles' Antigone, Diss. University of North Carolina, Chapel Hill, 1974.

2 Greek, Roman and Byzantine Monographs 8, Durham 1978.

3 Trachiniae ed. W. Subkoff, Mosquae 1879.

4 Class. Quart. N. S. 19 (1969) 57–85.

rentinos pro sua benevolentia nobis inspexit Augustus Guida.

Quibus modis codices harum quattuor fabularum inter se conectantur, quoad potuimus in tertio Studiorum nostrorum volumine[5] explanavimus. haud aliter atque in triade stationes extremas occupant codex **L**, quem A. Diller saec. X medio assignavit[6], et **A**, cui artissime cohaerent **U** et **Y**. codex **A** omnibus Sophoclis lectoribus iam dudum notissimus est, sed **U** eiusdem fere esse temporis atque auctoritatis videtur. ubi hi inter se discrepant, si lectionem progenitoris pro certo habere vis, codicis **Y** arbitrio rem remittas.

Tertia familia ex libris **ZoT** imprimis constituta est, quibus in hac editione accedunt **Zg** (Trach. et Phil.), **Zf** (Ant.), **Zn** (Oed. Col.). ex his principatum tenet **Zo**. auctoritatem huius familiae non facile colligeres ex editionibus quibus viri docti hodie uti solent. nunc tamen inter alia apparet multas lectiones quas Demetrii Triclinii ingenio tribuere mos erat ex antiquo fonte communi derivatas esse.

Zc (Ant.) auspiciis parum felicibus suum nomen accepit, nam cum **Zf Zg Zn Zo** non multum congruit. superest enim quarta familia quaedam, si familiam eos codices re vera appellare licet qui originem ducunt ex exemplaribus paucis haud multum a codice **L** distantibus. ex hac praeter **Zc** et illos **G** (Phil.) **Q** (Phil. et Oed. Col.) **R** (omnes praeter Trach. 373 ad finem), quos etiam in priore volumine adhibuimus, his codicibus usi sumus: **K**, cuius collationes utilissimas praestitit Metlikovitz[7]; hic omnes sep-

5 Studies on the Text of Sophocles, vol. III, Leiden 1978.

6 Serta Turyniana, Illinois 1974, 522.

7 Dissertationes philologae Vindobonenses 2 (Pragae – Vindobonae – Lipsiae 1890) 213–302.

tem fabulas continet, et eo gratior Trachiniarum editori est quod ceteri huius familiae libri in hac fabula aut partim aut omnino deficiunt; locum propiorem a codice **L** obtinet quam a progenitore librorum **GQR**. deinde **S** (Ant. et Phil. 1–654, 748–1297) et **V** (Ant. Phil. Trach. 1–18, Oed. Col. 1338–1779). quamquam **SV** multos errores communes exhibent, necessitudines alias uterque praebet: noli igitur eos pro gemellis habere. sunt loci ubi $\mathbf{S}^{\gamma\varrho}$ cum $\mathbf{L}^{s\gamma\varrho}$ consentit: Ant. 231, 521, 1136, 1308; Phil. 426, 538, 954, 1093, 1199.

Hodie nemo ignorat, etsi causas penitus intellegere difficile est, familias singulas vel etiam codices singulos lectiones antiquas tradere posse aliis traditionis stirpibus ignotas. **AUY** cum papyri fragmento consentiunt ad Trach. 360 Ant. 110, Oed. Col. 138. idem facit **K** ad Trach. 783, 1136, 1275. *φρονεῖν* exhibent $\mathbf{L}^{ac}$ et pap. Amst. Inv. 68 ad Trach. 289. inter Pollucem et **ZoT** est insignis similitudo in loco Ant. 628. ubi desunt testimonia extrinsecus afferenda. antiquas esse huiusmodi lectiones probant leges metricae seu grammaticae, ut de ipso stilo Sophocleo sileamus. hoc fusius comprobavimus in nostro libello Leidensi: possis tamen, si rem ex paucis admodum locis aestimare vis, hac brevi tabula uti:

prima familia
L: Ant. 619, 938; Phil. 110, 1461; Oed. Col. 35
$\mathbf{L}^{s\gamma\varrho}$: Trach. 7, 731; Ant. 340; Oed. Col. 1218

altera familia
AUY: Trach. 502, 977; Ant. 34, 471(?), 557, 1197; Phil. 895, 1235, 1312; Oed. Col. 110, 608, 786, 1531

tertia familia (*praesertim* **Zo**)
Trach. 902, 1045; Ant. 152, 384, 864; Phil. 614, 745, 1243, 1429; Oed. Col. 250, 320, 889, 1455, 1597, 1728

quarta familia
GQR: Phil. 11, 496, 1120
K: Oed. Col. 525, 778, 1337, 1515: hic codex formam *πο-εῖν* saepe servat, aliter in codice **L** solum inventam.
S: Ant. 1289, Phil. 228(?), 496
V: Phil. 150, 650, 760

Multas bonas lectiones in codice **T** repertas hic non citamus, propterea quod Triclinius emendatorem tam fortem se praebuit ut interdum dubitari possit utrum lectio antiqua an coniectura recens nobis arrideat. cum viri docti tempore quo hanc editionem conficimus Triclinii modum operandi melius intellegere velint, in partibus lyricis collationes huius libri ampliores dedimus quam quas exegisset res mera critica.

E testimoniis haud multa discimus. Sophocles noster saepe commemoratur in opere *λεξικῶι* Suda: sed Trach. 743 et Oed. Col. 99 exceptis nihil fere praeter corruptiones novas impertit. Ant. 1167 soli servant Athenaeus et Eustathius: hic etiam *μηδ'* pro *μήτ'* ad Phil. 771. orthographiam veram tradit Photius ad Trach. 770, et ad Trach. 788 *τ'* sincerum in textu depravato Diogenes Laertius. lectionem pretiosam quam coniectura attingere non potuerimus habet Strabo ad Trach. 12–13.

In hac tertia editione textum manu paulo liberiore tractavimus ne ubi remedium excogitari posset balbutire noster lectori retardato videretur. Itemque ea spe ut optimae lectiones quas caligo oblivionis paene obrutas habebat iterum in lucem reducerentur plures coniecturas in apparatu commemorare dignavimus, quarum maiorem partem e collectione auro pretiosiore quam conflavit L. van Paassen exprompsimus.

Cantabrigiae, A. D. MCMXCIV R. D. D,

CONSPECTVS SIGLORVM

A	Paris. gr. 2712
K	Flor. Laur. 31, 10
L	Flor. Laur. 32, 9
Q	Paris. suppl. gr. 109
R	Vatic. gr. 2291
T	Paris. gr. 2711
U	Ven. gr. 467
V	Ven. gr. 468
Y	Vindob. phil. gr. 48
Zn	Paris. gr. 2787
Zo	Vatic. Palat. gr. 287

Codex **L** ca. 950 A. D. exscriptus est, et **K** fortasse ante A. D. 1200. **U** subscriptionem A. D. 1312 exhibet. eiusdemque fere aetatis esse debet **A**. saeculo quinto decimo assignantur **RY**, sexto decimo **Q**. ceteri codices saeculo quarto decimo exarati sunt, nisi forte **V** exeunte saeculo priore.

P. Mich. 3, 140 (Oed. Col. 136–145) saec. II–III
P. Vat. gr. 11 Favorini (Oed. Col. 562–564, 797–799)

$\mathbf{B}^{ac}$	lectio codicis **B** ante correctionem
$\mathbf{B}^{pc}$	lectio codicis **B** post correctionem
$\mathbf{B}^{c}$	lectio correcta ubi $\mathbf{B}^{ac}$ dispici nequit
$\mathbf{B}^{1pc}$	correctio a prima manu illata
$\mathbf{B}^{2}$	manus altera quaelibet
$\mathbf{B}^{2pc}$	hoc siglum usurpatur ubi satis certum est lectionem correctam nec $\mathbf{B}^{1}$ nec $\mathbf{B}^{s}$ intulisse
$\mathbf{B}^{s}$	scriba scholiorum vel glossator frequens
$\mathbf{B}^{\gamma\varrho}$	varia lectio in **B** reperta, rpaefixis litteris *γϱ.*, *γϱ. καὶ*, aut formula *εὕϱηται δὲ ἔν τισι* vel. sim.

B^{gl}	glossema in **B** repertum, interdum etiam varia lectio sine *γρ.*, *γρ. καὶ* vel tali formula praefixa
B in lin.	lectio codicis **B** in linea reperta
B s. l.	lectio codicis **B** supra lineam reperta
Σ	scholia
*	rasura unius litterae
●	littera nihili
rell.	lectio omnium ceterorum codicum exceptis meris erroribus in uno vel duobus codicibus inventis
fere rell.	lectio quam vult maior pars ceterorum codicum, meris erroribus tantum suppressis qui nihil ad rem criticam conferunt
rec.	hoc siglo raro utimur ubi convenit lectiones commemorare unius vel plurium codicum quae nobis ex editionibus aliorum innotuerunt
⟨ ⟩	editoris supplementum
[ ]	verba quae editor delenda censet

ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩΙ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΟΙΔΙΠΟΥΣ
ΑΝΤΙΓΟΝΗ
ΞΕΝΟΣ
ΧΟΡΟΣ ΑΤΤΙΚΩΝ ΓΕΡΟΝΤΩΝ
ΙΣΜΗΝΗ
ΘΗΣΕΥΣ
ΚΡΕΩΝ
ΠΟΛΥΝΕΙΚΗΣ
ΑΓΓΕΛΟΣ

ΟΙΔΙΠΟΥΣ

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ' ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασιν,
5 *σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι*
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί;
στέργειν γὰρ αἱ πάθαι με χὼ χρόνος ξυνὼν
μακρὸς διδάσκει, καὶ τὸ γενναῖον τρίτον.
ἀλλ', ὦ τέκνον, θάκησιν εἴ τινα βλέπεις
10 *ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν,*
στῆσόν με κἀφίδρυσον, ὡς πυθώμεθα
ὅπου ποτ' ἐσμέν· μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, ἃν δ' ἀκούσωμεν τελεῖν.

ΑΝΤΙΓΟΝΗ

πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν οἳ
15 *πόλιν στέφουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω·*

codd. **LKQRAUYZnZoT**: post 1338 accedit **V**

5 *σμικροῦ* **QZnZoT** *μικροῦ* rell. | *δέ τι* **RT**, Suda 4, 415, 29 || 7 *ξυνὼν χρόνος* **QR** (*παρὼν* Q^{gl}) *χρόνος παρὼν* **ZnZoT** || **9** *θάκησιν* Flor. Ricc. 34 s.l. *θάκοισιν* codd. nostri || **10** *ἤτοι βεβήλοις* Blaydes || **11** *κἀφίδρυσον* Meineke *κἀξ-* codd. *κἀν-* Blaydes | *ἕως* Wilke | *πυθοίμεθα* codd.: corr. Brunck || **13** *ἃν δ'* Elmsley *χ' ἂν* **ZnT** *ἂν* vel *ἃν* volunt rell. | *ποεῖν* L^s s.l. **K** || **14** *Οἰδίπου* **ZnZoT** || **15** *στέγουσιν* codd.: corr. Wakefield | *ὡς ἀνομμάτωι* $L^{s\gamma\rho}$ inter **Σ**

χῶρος δ' ὅδ' ἱερός, ὡς σάφ' εἰκάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπτεροι
δ' εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου·
20 μακρὰν γάρ, ὡς γέροντι, προυστάλης ὁδόν.
ΟΙ. κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝ. χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν μ' ἔδει τόδε.
ΟΙ. ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν;
ΑΝ. τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.
25 ΟΙ. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμὶν ἐμπόρων.
ΑΝ. ἀλλ' ὅστις ὁ τόπος ἦ μάθω μολοῦσά ποι;
ΟΙ. ναί, τέκνον· εἴπερ ἐστί γ' ἐξοικήσιμος.
ΑΝ. ἀλλ' ἐστὶ μὴν οἰκητός· οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῶιν ὁρῶ.
30 ΟΙ. ἦ δεῦρο προσστείχοντα κἀφορμώμενον;
ΑΝ. καὶ δὴ μὲν οὖν παρόντα· χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ', ὡς ἀνὴρ ὅδε.
ΟΙ. ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὐτῆς θ' ὁρώσης οὕνεχ' ἡμὶν αἴσιος
35 σκοπὸς προσήκεις ὧν ἀδηλοῦμεν φράσαι…

16 *ἱερός* **AUYZoT** *ἱρός* rell. | *σάφ' εἰκάσαι* **AUY** *ἀφεικάσαι* **L** in lin. *ἀπεικάσαι* $\mathbf{L^s}$ s. l., rell. ‖ **19** *πάγου* $\mathbf{L^{s\gamma\rho}}$, v. l. in rec. ‖ **22** *μ' ἔδει* Sehrwald *με δεῖ* codd. ‖ **23** *ὅπου* **Zo** ‖ **25** *τοῦτό γ'* Par. 2886 post corr. *τοῦτον* rell. ‖ **27** *ἐστὶν ἐξ-* **ZnZoT** | *εἰσοικήσιμος* Hartung ‖ **28** *μὲν* $\mathbf{Q^{ac}}$**AZnZo** *μέν γ'* **T** ‖ **29** *ἄνδρ' ἰόντα νῶιν* Peters ‖ **30** *προσστείχοντα* $\mathbf{K^{pc}}$**ZnT** *προστ-* rell. | *κἀφορμώμενον* (sc. *καὶ ἐφ-*) Meineke *κἀξ-* codd. ‖ **32** *ἀνὴρ* codd. ‖ **33** *ἀκούω* $\mathbf{Q^{ac}}$**RT**, coni. Lindner ‖ **34** *θ'* om. **LKQR** ‖ **35** *τῶν* codd.: corr. Elmsley, sed cf. Trach. 47 | *ἀδηλοῦμεν* ut vid. voluit $\mathbf{L^{pc}}$ *ἃ δηλοῦμεν* $\mathbf{L^{ac}}$ rell.

ΞΕΝΟΣ

πρίν νυν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ'· ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.

ΟΙ. τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;

ΞΕ. ἄθικτος οὐδ' οἰκητός· αἱ γὰρ ἔμφοβοι
40 θεαί σφ' ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.

ΟΙ. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;

ΞΕ. τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνθάδ' ἂν
εἴποι λεώς νιν· ἄλλα δ' ἀλλαχοῦ καλά.

ΟΙ. ἀλλ' ἵλεωι μὲν τὸν ἱκέτην δεξαίατο·
45 ὡς οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.

ΞΕ. τί δ' ἐστὶ τοῦτο;

ΟΙ. ξυμφορᾶς ξύνθημ' ἐμῆς.

ΞΕ. ἀλλ' οὐδὲ μέντοι τοὐξανιστάναι πόλεως
δίχ' ἐστὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.

ΟΙ. πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσηις,
50 τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.

ΞΕ. σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανῆι.

ΟΙ. τίς ἔσθ' ὁ χῶρος δῆτ' ἐν ὧι βεβήκαμεν;

ΞΕ. ὅσ' οἶδα κἀγὼ πάντ' ἐπιστήσηι κλύων.
χῶρος μὲν ἱερὸς πᾶς ὅδ' ἔστ'· ἔχει δέ νιν
55 σεμνὸς Ποσειδῶν, ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον

40 *Σκότου* **AYT** *Σκότους* rell. || **41** *τὸ σκαιὸν* **A** | *καλῶν* F. W. Schmidt || **42** *ἂν* Vauvilliers *ὧν* codd. || **44** *ἵλεωι* **KZn ZoT** *ἵλεως* rell. | *μὴν* Elmsley | *τὸν* ed. Lond. 1747 *τόνδ'* codd. || **45** *ὡς* Elmsley *ὥστ'* codd. | *γῆς*] *γε* Musgrave || **47** *οὐδὲ μέντοι* **AUY** *οὐδ' ἐμόν τοι* **LRK**[pc] (*του* **K**[ac]) *οὐδ' ἐμόν τι* **QZn ZoT** *οὐδ' ἐμοί τοι* Seidler || **48** *γ' ἂν*] om. **A** *ἂν* **UY** *γὰρ* **QR** | *ἐνδείξηι* Schneidewin | *δρᾶς* **Zo**, coni Peters *δρᾶν* **ZnT** || **51** *ἔκ γ'*] *γ' ἔκ γ'* **L** *ἐξ* **ZnZoT** || **52** *τίς* **QRZo**, coni. Blaydes *τίς δ'* rell. || **54** *ἱρὸς* Dindorf: cf. ad v. 16

χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ' Ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι
τὸν ἱππότην Κολωνὸν εὔχονται σφίσιν
60 ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῆι ξυνουσίαι πλέον.
ΟΙ. ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
65 ΞΕ. καὶ κάρτα, τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
ΟΙ. ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῶι πλήθει λόγος;
ΞΕ. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
ΟΙ. οὗτος δὲ τίς λόγωι τε καὶ σθένει κρατεῖ;
ΞΕ. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
70 ΟΙ. ἆρ' ἄν τις αὐτῶι πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕ. ὡς πρὸς τί λέξων ἢ καταρτύσων †μόλοι†;
ΟΙ. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνηι μέγα.
ΞΕ. καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙ. ὅσ' ἂν λέγωμεν πάνθ' ὁρῶντα λέξομεν.
75 ΞΕ. οἶσθ' ὦ ξέν', ὡς νῦν μὴ σφαλῆις; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος·
αὐτοῦ μέν' οὗπερ κἀφάνης, ἕως ἐγὼ

57 *ὀδός* codd.: corr. Brunck || **58** *αἱ δὲ πλησίον* **L**[2γρ]**ZnZoT** || **59** *τὸν* Reiske *τόνδ'* codd. || **60** *φοροῦσι* Nauck: cf. frg. 658 || **61** *ὠνομασμένοι* Zo et ut vid. **Σ** *-μένον* rell. || **62** *τοι* Blaydes || **63** *πλέῳ* **L**[1] s. l., **QR**, Suda 3, 502, 27, ubi *πλέον* **M**[γρ] *πλέων* **K** in lin. *λεῴ* Schneidewin || **66** *τίς* ut solent codd. plerique: *ἄρχει τίς αὐτῶν* edd. nonnulli | *λόγος*] *κράτος* Bonitz *σθένος* Meineke *τέλος* Bergk: *ἰσχύς* **Σ** || **69** om. **L**[ac], add. **L**[1] i. m. | *τέκνον* **QR** || **70** *ἂν* **AUY** *οὖν* rell. | *ἡμῶν* **AU** || **71** *μόλοι* **LKZn ZoT** *μολεῖν* **QRAUY**, Suda 3, 57, 20 *παρῆι* Dindorf *φράσον* Dawe || **72** *σμικρὰ* **UY**, coni. Elmsley *μικρὰ* rell. || **75** *ἴσθ'* Par. 2886 *ἴσχ'* Hense

τοῖς ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ, δημόταις
λέξω τάδ' ἐλθών· οἵδε γὰρ κρινοῦσί τοι
80 *εἰ χρή σε μίμνειν ἢ πορεύεσθαι πάλιν.*
ΟΙ. *ὦ τέκνον, ἦ βέβηκεν ἡμὶν ὁ ξένος;*
ΑΝ. *βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχωι, πάτερ,*
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΟΙ. *ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας*
85 *πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγώ,*
Φοίβωι τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακά,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνωι μακρῶι,
ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
90 *σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,*
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσαντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν·
σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα,
95 *ἢ σεισμὸν ἢ βροντήν τιν' ἢ Διὸς σέλας.*
ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ' ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ' εἰς τόδ' ἄλσος· οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν
100 *νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην*
βάθρον τόδ' ἀσκέπαρνον. ἀλλά μοι, θεαί,

78 *τοῖσδ'* codd.: corr. Tournebou ‖ **79** *τοι* Wecklein *σοι* **L** in lin., **QR** *σοί γε* **K** *γε* L^2 s. l., rell. ‖ **80** *εἰ* Tournebou *ἢ* codd. ‖ **83** versum quem iam defenderat Meineke eiecit Nauck ‖ **86** *γένοισθ'* **U** ‖ **87** *τὰ πλεῖσθ'* **QR** ‖ **88** *ἐνὶ* **QR** ‖ **89** *ἐλθόντα* Elmsley ‖ **90** om. L^{ac}, add. L^1 | *κατάστασιν* $L^{s\gamma\rho}$ ‖ **91** *κάμπτειν* **AUY** ‖ **92** *οἰκίσαντα* Hermann *ἀρκέσαντα* Wecklein ‖ **94** *παρηγγύα* **ZnZoT**, et s. l. **AUY** *παρεγγύα* rell. *φερέγγυα* Herwerden ‖ **99** *ὑμῖν* Suda 3, 464, 23 codd. GM, et novit **Σ** *ὑμῶν* codd.

βίου κατ' ὀμφὰς τὰς Ἀπόλλωνος δότε
πέρασιν ἤδη καὶ καταστροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
105 *μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.*
ἴτ', ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ', ὦ μεγίστης Παλλάδος καλούμεναι
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτίρατ' ἀνδρὸς Οἰδίπου τόδ' ἄθλιον
110 *εἴδωλον· οὐ γὰρ δὴ τό γ' ἀρχαῖον δέμας.*
ΑΝ. *σίγα· πορεύονται γὰρ ὧδε δή τινες*
χρόνωι παλαιοί, σῆς ἕδρας ἐπίσκοποι.
ΟΙ. *σιγήσομαί τε καὶ σύ μ' ἐξ ὁδοῦ πόδα*
κρύψον κατ' ἄλσος, τῶνδ' ἕως ἂν ἐκμάθω
115 *τίνας λόγους ἐροῦσιν. ἐν γὰρ τῶι μαθεῖν*
ἔνεστιν ηὑλάβεια τῶν ποιουμένων.

ΧΟΡΟΣ

ὅρα· τίς ἄρ' ἦν; ποῦ ναίει; *στρ. α*
ποῦ κυρεῖ ἐκτόπιος συθεὶς ὁ πάντων,
120 *ὁ πάντων ἀκορέστατος;*
[λεύσσατ' αὐτόν,] προσδέρκου, προσφθέγγου,
προσπεύθου πανταχᾶι·

103 *πέρασιν ἤδη*] *βίου πέρασιν* Suda 4, 89, 1 || **105** *μόχθους ... τοὺς ὑπερτάτους* Wunder || **109** *οἰκτείρατ'* ut solent codd. || **110** *τό γ'* **UY** *τόδ'* rell. || **111** *ὧδε* **ZnZoT** *οἵδε* rell. || **113** *τε*] *τοι* Enger *δὴ* Rauchenstein *'γὼ* Bergk | *οι* supra *μ'* **T** *μου 'ξ* Hermann | *ἐκποδὼν ὁδοῦ* Keck *ἐξ ὁδοῦ τόδ' αὖ* M. Schmidt || **114** *τρέψον* Karsten || **115** *ἐν δὲ τῶι* seu *ἐν τῶι γὰρ* Elmsley || **117** *ναίει*] *κυρεῖ* metri gr. Nauck: cf. 150 || **119** *ποῖ* Blaydes | *σωθεὶς* **QR** || **120** *ἀκόρεστος* **KQR** || **121** *λεύσσατ'* **AUY** *λεύσσετ'* **ZnZoT** *λεύσατ'* rell.: hoc et *αὐτὸν* del. Dawe | *προσφθέγγου* **AUY** om. rell. || **122** *προσπεύθου* om. **AUY** | *πανταχῆι* codd.

πλανάτας,
πλανάτας τις ὁ πρέσβυς οὐδ'
125 ἔγχωρος· προσέβα γὰρ οὐκ
ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς
τᾶνδ' ἀμαιμακετᾶν κορᾶν,
ἃς τρέμομεν λέγειν,
130 καὶ παραμειβόμεσθ' ἀδέρκτως,
ἀφώνως, ἀλόγως τὸ τᾶς
εὐφήμου στόμα φροντίδος
ἱέντες· τὰ δὲ νῦν τιν' ἥκειν
λόγος οὐκ ἀλέγονθ', ὃν ἐγὼ λεύσσων
135 περὶ πᾶν οὔπω δύναμαι τέμενος
γνῶναι ποῦ μοί ποτε ναίει.

ΟΙ. ὅδ' ἐκεῖνος ἐγώ· φωνῆι γὰρ ὁρῶ,
τὸ φατιζόμενον.
140 ΧΟ. ἰὼ ἰώ,
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.
ΟΙ. μή μ', ἱκετεύω, προσίδητ' ἄνομον.
ΧΟ. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;
ΟΙ. οὐ πάνυ μοίρας εὐδαιμονίσαι
145 πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
δηλῶ δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις
ὄμμασιν εἷρπον
κἀπὶ σμικροῖς μέγας ὥρμουν.

125 *ἐγχώριος* codd.: corr. Bothe || **131–133** *ἄλογον ... τιθέντες* Meineke || **132** *εὐφάμου* Doederlein || **134** *οὐκ ἀλέγονθ'* Blaydes *οὐδὲν ἄγονθ'* **T** *οὐδὲν ἄζονθ'* rell. *λιάζοντα* L[s.v.ρ], v.l. in rec. || **138** *ἐκεῖνος ἐγώ* **AUY** et pap. Mich. III, 140 *ἐκεῖνος ὁρᾶν* **QRT** *ἐκεῖνος ὁρᾶν ἐγώ* rell. (*ἐγὼ* T[gl]) || **143** *ἀλεξῆτορ* **AUY** *-ωρ* rell. et. pap. || **146** *δῆλον* **ZnZoT** | *ἂν* om. **LZnZo** | *οὐ τἂν ὧδ'* Nauck || **148** *σμικρᾶς* Reisig | *ὥρμων* L[c], **T** s.l.

150 *XO.* *ἐή· ἀλαῶν ὀμμάτων* ἀντ. α
ἆρα καὶ ἦσθα φυτάλμιος; δυσαίων
μακραίων θ', ὅσ' ἐπεικάσαι.
ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ
προσθήσηι τάσδ' ἀράς.
155 *περᾶις γάρ,*
περᾶις· ἀλλ' ἵνα τῶιδ' ἐν ἀ-
φθέγκτωι μὴ προπέσηις νάπει
ποιάεντι, κάθυδρος οὗ
κρατὴρ μειλιχίων ποτῶν
160 *ῥεύματι συντρέχει –*
τό, ξένε πάμμορ', εὖ φύλαξαι –
μετάσταθ', ἀπόβαθι. πολ-
λὰ κέλευθος ἐρατύοι·
165 *κλύεις, ὦ πολύμοχθ' ἀλᾶτα;*
λόγον εἴ τιν' ἔχεις πρὸς ἐμὰν λέσχαν,
ἀβάτων ἀποβάς, ἵνα πᾶσι νόμος
φώνει· πρόσθεν δ' ἀπερύκου.

170 *OI.* *θύγατερ, ποῖ τις φροντίδος ἔλθηι;*
AN. *ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν*
εἴκοντας ἃ δεῖ κἀκούοντας.

149 *ἐή* Dindorf *αἲ αἴ* rec. *ἒ ἔ* codd. nostri ‖ **152** *θ' ὅσ'* Bothe *θ' ὡς* **QRZo** *τ' ἔθ' ὡς* **T** *τέ θ' ὡς* rell. ‖ **153** *ἀλλά γ'* **T** | *ἐμοὶ*] *ἡμῖν* **T** ‖ **154** *προσθήσεις* codd.: corr. Hermann | *τᾶνδ'* Blaydes ‖ **156** *τῶνδ'* **U** ‖ **157** *προσπέσηις* codd.: corr. Hermann ‖ **158** *κάθυγρος* **T** ‖ **160** *ῥεύμασι* **K** ‖ **161** *τὸ* Heath *τὸν* **ZnZo**, **T** s. l. *τῶν* rell. *τῶι* Brunck ‖ **164** *ἐρατύοι* Musgrave *-ει* codd. ‖ **166** *ἔχεις*] *οἴσεις* **QR**, **L**[s] s. l. *ἐρεῖς* Blaydes ‖ **167** *ἀποβάτων* **QR**, et procul dubio **L**[ac] *ἀποβάντων* **K** *ἀπ' ἀβάτων* **AUY** ‖ **170** *ἔλθηι* **AUY** *ἔλθοι* rell. ‖ **172** *εἰπόντας* Bothe | *κἀκούοντας* Musgrave *κοὐκ ἄκοντας* **ZnZoT** *κοὐκ ἀκούοντας* rell.

ΟΙ. πρόσθιγέ νύν μου.
ΑΝ. ψαύω καὶ δή.
ΟΙ. ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
175 πιστεύσας καὶ μεταναστάς.

ΧΟ. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων, ὦ *στρ. β*
γέρον, ἄκοντά τις ἄξει.
ΟΙ. ἔτ' οὖν;
ΧΟ. ἔτι βαῖνε πόρσω.
ΟΙ. ἔτι;
180 ⟨*ΧΟ.*⟩ προβίβαζε, κούρα,
πόρσω· σὺ γὰρ ἀίεις.
ΑΝ. ⟨⏑⏑⏑–⏑⏑–⏑–⟩
ΟΙ. ⟨––––⟩
ΑΝ. ⟨⏑–⏑⏑–⏑–⟩
ἕπεο μάν, ἕπε' ὧδ' ἀμαυ-
ρῶι κώλωι, πάτερ, ἇι σ' ἄγω.
ΟΙ. ⟨–––⏑⏑––⟩
ΧΟ. τόλμα, ξεῖνος ἐπὶ ξένας,
185 ὦ τλάμων, ὅ τι καὶ πόλις
τέτροφεν ἄφιλον ἀποστυγεῖν
καὶ τὸ φίλον σέβεσθαι.

173 *καὶ δὴ ψαύω* Herwerden ‖ **174** *ὦ ξεῖνοι* **AUYT** *ὦ ξένοι* rell.: corr. Reisig | *ὦ ξένε* Nauck ‖ **175** ante *πιστεύσας* add. *ὑμῖν* **ZnZo**, *σοὶ* rell.: corr. Brunck ‖ **177** *ἄρηι* Elmsley ‖ **178** *ἔτ' οὖν ἔτι προβῶ; ΧΟ. ἐπίβαινε πρόσω* codd.: *ἔτι προβῶ* eiecit Bothe: *ἔτι βαῖνε* coni. Reiske, *πόρσω* Bothe ‖ **180** pers. not. add. Hermann et Reisig | *προβίβαζε* **QRA**^{ac} *προσβίαζε* **ZnZo** *προσβίβαζε* rell. ‖ **181** *πρόσω* codd.: corr. Dindorf | *σὺ*] *εὖ* **ZnZoT** ‖ **182** *ἕσπεο* **LZnZoT** | *μάν*] *μοι* **L** i. m. | *ἕπε'*] *ἕσπε'* **L** | *ἕσπεο δ'* **ZnZoT** ‖ **183** *πάτερ*] *πέρα* **Q** ‖ **184** *ξένας* Elmsley *ξένης* **T**^{gl}, et coni. Bothe *ξείνης* rell. ‖ **185** *τλᾶμον* codd.: corr. Bothe ‖ **186** *ἄθλιον* **ZnT**, verum **T**$^{\gamma\rho}$ ‖ **187** *χὤ τι* Blaydes *τὸ* om. **Zo** *τὸν* **T**

ΟΙ. *ἄγε νυν σύ με, παῖς,*
ἵν' ἂν εὐσεβίας ἐπιβαίνοντες
190 *τὸ μὲν εἴποιμεν, τὸ δ' ἀκούσαιμεν*
καὶ μὴ χρείαι πολεμῶμεν.

ΧΟ. *αὐτοῦ μηκέτι τοῦδ' αὐτοπέτρου βή-* ἀντ. β
ματος ἔξω πόδα κλίνῃς.
ΟΙ. *οὕτως;*
ΧΟ. *ἅλις, ὡς ἀκούεις.*
195 ΟΙ. *ἦ ἐσθῶ;*
ΧΟ. *λέχριός γ' ἐπ' ἄκρου*
λάου βραχὺς ὀκλάσας.
ΑΝ. *πάτερ, ἐμὸν τόδ'· ἐν ἡσύχωι ...*
⟨ΟΙ.⟩ *ἰώ μοί μοι ...*
ΑΝ. *βάσει βάσιν ἅρμοσαι,*
200 *γεραὸν ἐς χέρα σῶμα σὸν*
προκλίνας φιλίαν ἐμάν.
ΟΙ. *ὤμοι δύσφρονος ἄτας.*

188 *παῖς,* propter synapheam, Musgrave *παῖ* codd. ‖ **189** *εὐσεβίας* **AUYT** *-είας* rell. ‖ **190** *εἴποιμεν* **K**, in lin. **LT** *εἴπωμεν* rell. | *ἀκούσαιμεν* **LKQ**^{ac}**R**, **T** s. l. *-ωμεν* **L** s. l., **T** in lin., **Q**^{2pc}, rell. ‖ **192** *αὐτοπέτρου* Musgrave *ἀντὶ πέτρου* **AU** *ἀντιπέτρου* rell. ‖ **193** *κινήσῃς* **L**^{syg} | *κίνει* Meineke ‖ **194** *ἅλις ὧδ' ἵν' ἥκεις* Blaydes ‖ **195** *ἦ ἐσθῶ* Brunck *ἠ 'σθῶ* **L** *ἦ 'σθῶ* **AUY** *ἡστῶ* **L**^{syg} *ἦ στῶ* **R** *ἢ στῶ* **Q** *ἦσθο* **K** *ἡσθῶ* **ZnZoT**, hic cum *στ* s. l. *ἐσθῶ* sine *ἦ* Vauvilliers *ἐστῶ* Nauck ‖ **196** *λάου*] vide Turner, Greek Papyri, 99 ‖ **197** *ἡσύχωι* Elmsley *ἡσυχίαι* codd. *ἀσυχαίαι* Hermann ‖ **198** *ἰώ μοί μοι* om. **QR**, post *ἁρμόσαι* traiecit Hermann | pers. not. add. Hermann ‖ **199** *βάσει*] *βάσιν* **A** | *βάσιν*] *βάσιμον* **Q**^{1pc}**R** | *βάσειμον* **Q**^{ac} | *ἁρμόσαι* codd.: corr. Elmsley ‖ **200** *γεραιὸν* codd.: corr. Dindorf ‖ **201** *προκρίνας* **ZnZo** *πρόσκλινον* **T** ‖ **202** *δυσπότμου* **Q** *δυσφόρου* Blaydes

ΧΟ. *ὦ τλάμων, ὅτε νῦν χαλᾶις,*
αὔδασον· τίς ἔφυς βροτῶν;
205 *τίς ὁ πολύπονος ἄγηι; τίν' ἂν*
σοῦ πατρίδ' ἐκπυθοίμαν;

ΟΙ. *ὦ ξένοι, ἀπόπολις· ἀλλὰ μὴ...*
ΧΟ. *τί τόδ' ἀπεννέπεις, γέρον;*
210 *ΟΙ.* *μή, μή, μ' ἀνέρηι τίς εἰμι,*
μηδ' ἐξετάσηις πέρα ματεύων.
ΧΟ. *τί δέ;*
ΟΙ. *δεινὰ φύσις.*
ΧΟ. *αὔδα.*
ΟΙ. *τέκνον, ὤμοι, τί γεγώνω;*
ΧΟ. *τίνος εἶ σπέρματος, ⟨ὦ⟩*
215 *ξένε, φώνει, πατρόθεν;*
ΟΙ. *ὤμοι ἐγώ, τί πάθω, τέκνον ἐμόν;*
ΧΟ. *λέγ', ἐπείπερ ἐπ' ἔσχατα βαίνεις.*
ΟΙ. *ἀλλ' ἐρῶ· οὐ γὰρ ἔχω κατακρυφάν.*
ΧΟ. *μακρὰ μέλλεται· ἀλλὰ τάχυνε.*

203 *τλάμων* **LKA**, s. l. **UY** | *τλᾶμον* **A** s. l., rell. | post *χαλᾶις* add. *θαυμάζηι* **QR** ‖ **204** *τίς ἔφυς* **L**[sγρ] *τίς σ' ἔφυ* **LAU** *τίς ἔφυ* **KQR** *τίς σ' ἔφυσε* **ZnZo** *τίς σ' ἔφησε* **T** *τί σ' ἔφυ* **Y** *τοῦ ἔφυς* Schneidewin ‖ **205** *ὁ* **L**[sγρ] *ὢν* rell. | *ἄγει* **KQR** *ἄρ' εἶ* Blaydes | *τίν' ἂν* Vauvilliers *τίνα* codd. ‖ **208** *ἀπόπτολις* codd.: corr. Ebeling ‖ **209** *ἐννέπεις* **T** ‖ **210** *μή* bis Hartung semel **QR** ter rell. | *τίς γ'* **T** ‖ **211** *μαστεύων* **ZnZoT** (et **Q**[gl]) ‖ **212** *δέ* Elmsley *τόδε* codd. | *αἰνὰ* Wunder ‖ **213** *ὤμοι* ante *τέκνον* collocat **Zo** | *γεγώνω* **LKR** *γεγω* **Q** *γεγωνῶ* rell. ‖ **214** *ὦ* add. Heath ‖ **215** *ξένε* **T** *ξεῖνε* rell. ‖ **217** *ΧΟ.* Meridor *ΑΝ.* codd. | *βαίνεις* **T** *μένεις* rell. ‖ **219** *μέλλεται* Lloyd-Jones *μέλλετέ γ'* **T** *γε μέλλετ'* **QR** *μέλλετ'* rell. *μέλλετον* Hermann | *τάχυνε* Elmsley *ταχύνετε* **LK ZnT** *-ατε* rell.

220 *ΟΙ.* Λαΐου ἴστε τιν' ⟨οὖν⟩ ἀπόγονον;
ΧΟ. ἰού.
ΟΙ. τό τε Λαβδακιδᾶν γένος...
ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ἄθλιον Οἰδιπόδαν;
ΧΟ. σὺ γὰρ ὅδ' εἶ;
ΟΙ. δέος ἴσχετε μηδέν, ὅσ' αὐδῶ.
ΧΟ. ἰώ, ὢ ὤ.
ΟΙ. δύσμορος.
ΧΟ. ὢ ὤ.
225 *ΟΙ.* θύγατερ, τί ποτ' αὐτίκα κύρσει;
ΧΟ. ἔξω πόρσω βαίνετε χώρας.
ΟΙ. ἃ δ' ὑπέσχεο ποῖ καταθήσεις;

ΧΟ. οὐδενὶ μοιριδία τίσις εἴργεται
ἃν προπάθηι τὸ τίνειν· ἀπάτα δ' ἀπά-
230 ταις ἑτέραις ἑτέρα παραβαλλομέ-
να πόνον, οὐ χάριν, ἀντιδίδωσιν ἔ-
χειν. σὺ δὲ τῶνδ' ἑδράνων πάλιν ἔκτοπος

220 *οὖν* add. Elmsley | *ἀπόγονον*] del. Reisig *ἔκγονον* Pearson *ἶνιν* Postgate | *ἰού*] *ὦ ὦ ἰού* **LKR** *ὢ ὢ ἰού* **Zn** *ὢ ὢ ἰοὺ ἰοὺ* **Zo** *ὢ ὢ ἰοῦ* **Q** *ὤ ὤ ἰοὺ* **AUY** *ὥ ὥ· ἰού ἰού* **T** || **221** *τό τε*] *τόδε* **ZnZo** || **222** *Οἰδιπόδα* **Zn** || **223** *ὅσ'*] *ὧν* **QR** || **224** *ἰώ, ὢ ὤ* Hermann, qui etiam *δύσμορος* choro continuat *ἰὼ ὦ ὦ ὤ* **LKR** *ἰὼ ὢ ὢ ὢ* **ZnZo** *ἰὼ ὦ ὦ* **T** *ἰὼ ὼ ὼ ὼ* **Q** *ἰὼ ἰὼ ὤ ὤ ὤ* **AUY** | *δύσμωμος* **ZnZo**, **T** s. l. | *ὢ ὤ* Hermann *ὦ ὦ* **LR** *ἰού ὦ ὦ* **K** *ὥ ὥ* **T** *ὼ ὼ* **Q** *ὤ ὤ* **AUY** *ὢ ὢ ἴθι* **ZnZo** || **225** *ὦ θύγατερ* **QR** || **226** *πόρσω* **T** *πρόσω* rell. | *προβαίνετε* **Zo** || **227** *ὑπέσχετο* **L** *ὑπέσχες* **R** *-εν* **Zn** *-ου* **Zo** | *ποῦ* **ZnZo** || **228** *μοιριδία* **ZnZoT** | *μοὶ ῥαδία* **QRAUY** *μοί ῥαιδία* **L**[ac]: *μοι ραιδια* et *μοίραι δια* voluerunt correctores **L**[pc]: *μοιρὰ δία* **K** | *εἴργεται* Campe: *ἔργεται* iam Bothe *ἔρχεται* codd. || **229** *ἃν* Wunder *ὧν* codd. | *προμάθῆι* **L**, cum *π* s. l. *προμαθῆι* **K** || **232** *δὲ τῶνδ'* **T** *δ' ἐκ τῶνδ'* rell. | *ἔκτροπος* **QR**

αὖθις ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε,
235 *μή τι πέρα χρέος*
ἐμᾶι πόλει προσάψηις.

ΑΝ. *ὦ ξένοι αἰδόφρονες,*
ἀλλ' ἐπεὶ γεραὸν πατέρα
τόνδ' ἐμὸν οὐκ ἀνέτλατ' ἔργων
240 *ἀκόντων ἀίοντες αὐδάν,*
ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομεν,
ὦ ξένοι, οἰκτίραθ', ἃ
πατρὸς ὑπὲρ τοὐμοῦ ⟨⏑⏑⟩ ἄντομαι·
ἄντομαι οὐκ ἀλαοῖς προσορωμένα
245 *ὄμμα σὸν ὄμμασιν, ὥς τις ἀφ' αἵματος*
ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
αἰδοῦς κῦρσαι. ἐν ὔμμι γὰρ ὡς θεῶι
κείμεθα τλάμονες. ἀλλ' ἴτε, νεύσατε
τὰν ἀδόκητον χάριν.
250 *πρός σ' ὅ τι σοι φίλον οἴκοθεν ἄντομαι,*
ἢ τέκνον ἢ λέχος ἢ χρέος ἢ θεός.
οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτῶν
ὅστις ἄν, εἰ θεὸς ἄγοι,
ἐκφυγεῖν δύναιτο.

234 *αὖθις* **QR** *αὖτις* rell. *αὐτίκ'* Halbertsma ‖ **237–257** erant inter antiquos criticos qui hos versus spurios esse docerent ‖ **238** post *γεραὸν* add. *ἀλαὸν* **L^{spc}QRZnZoT** ‖ **243** *τοὐμοῦ* **QRZn** *τοῦ μοῦ* **Zo** *τοῦ 'μοῦ* **T** *τοῦ μόνου* rell. *τοῦ τλάμονος* Hense ‖ **244** *οὐ καλοῖς* **L^{pc}ZnZoT, ΣL** ‖ **247** *κῦρσαι* **T** *κύρσαι* rell. | *ὔμμι* Bergk *ὑμῖν* codd. | *γὰρ* del. Brunck ‖ **250** *οἴκοθεν* Elmsley *ἔκαθεν* **ZnZo** *ἐκ σέθεν* rell.: cf. Phil. 469 ‖ **251** *λέχος* Reiske *λόγος* codd. | *θεός* valde suspectum: ne *χρέος* quidem contextui optime congruit ‖ **252** *βροτὸν* **T**: cf. 279 om. **K** ‖ **253** *ὃς ἂν* **ZnZoT** | *ἄγω* **R** *ἄγει* **ZnZo** *ἄγει γ'* **T** *ἄγοι σφ'* Dawe

ΧΟ. ἀλλ' ἴσθι, τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
255 οἰκτίρομεν καὶ τόνδε συμφορᾶς χάριν·
τὰ δ' ἐκ θεῶν τρέμοντες οὐ σθένοιμεν ἂν
φωνεῖν πέρα τῶν πρός σε νῦν εἰρημένων.
ΟΙ. τί δῆτα δόξης ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίγνεται,
260 εἰ τάς γ' Ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σώιζειν οἵας τε καὶ μόνας ἀρκεῖν ἔχειν;
κἄμοιγε ποῦ ταῦτ' ἐστίν; οἵτινες βάθρων
ἐκ τῶνδέ μ' ἐξάραντες εἶτ' ἐλαύνετε,
265 ὄνομα μόνον δείσαντες· οὐ γὰρ δὴ τό γε
σῶμ' οὐδὲ τἄργα τἄμ'· ἐπεὶ τά γ' ἔργα με
πεπονθότ' ἴσθι μᾶλλον ἢ δεδρακότα,
εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρείη λέγειν,
ὧν οὕνεκ' ἐκφοβῆι με· τοῦτ' ἐγὼ καλῶς
270 ἔξοιδα. καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ' εἰ φρονῶν
ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός;
νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην,
ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην.
275 ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε,
καὶ μὴ θεοὺς τιμῶντες εἶτα τοὺς θεοὺς

254 *Οἰδίπους* **L** ‖ **255** *τάνδε* **L**[ac] ‖ **257** *πρός σε* Blaydes *πρὸς σὲ* codd. ‖ **258** *ἢ καλῆς μοι κληδόνος* Suda 2, 129, 12 (*καλῆς μοι* om. AGI *κληδόνες* GI) ‖ **260** *τάς γ'* Lascaris *τὰς* **ZnZoT** *τάς τ'* rell. ‖ **261** *καλούμενον* **T** ‖ **265** *τό γε*] *τότε* **KZnT, R** in lin. ‖ **266** sq. *με … ἴσθι* Hertel *μου … ἐστὶ* codd. ‖ **268** *καὶ*] *ἢ* **K** | *χρεῖ ἦι* **L**[c] *χρεί' ἢ* **R** *χρεῖ' ἤ* rell.: corr. Heath ‖ **269** *εἵνεκ'* **ZnZo** ‖ **272** *ὧδέ γ'* **K** *ὣς* Herwerden

μώρους ποεῖσθε μηδαμῶς· ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
280 *βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς· φυγὴν δέ του*
μήπω γενέσθαι φωτὸς ἀνοσίου † βροτῶν†.
ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν,
ἀλλ', ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
285 *ῥύου με κἀκφύλασσε· μηδέ μου κάρα*
τὸ δυσπρόσοπτον εἰσορῶν ἀτιμάσῃς.
ἥκω γὰρ ἱερὸς εὐσεβής τε καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ'· ὅταν δὲ κύριος
παρῇ τις, ὑμῶν ὅστις ἐστὶν ἡγεμών,
290 *τότ' εἰσακούων πάντ' ἐπιστήσῃ· τὰ δὲ*
μεταξὺ τούτου μηδαμῶς γίγνου κακός.
ΧΟ. *ταρβεῖν μέν, ὦ γεραιέ, τἀνθυμήματα*
πολλή 'στ' ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι· τοὺς δὲ τῆσδε γῆς
295 *ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.*
ΟΙ. *καὶ ποῦ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;*
ΧΟ. *πατρῷον ἄστυ γῆς ἔχει· σκοπὸς δέ νιν,*
ὃς κἀμὲ δεῦρ' ἔπεμψεν, οἴχεται στελῶν.

278 *μώρους* **KR**, coni. Blaydes *μωροὺς* **Q** *μοῖραν* **ZnZoT** *μοίραις* rell. (*μοίρας* rec.) | *ποιεῖσθε* codd. || **279** *βροτόν* **T** || **281** *βροτῶν*] *θεῶν* Schenkl *ποτέ* Tournier || **281** sq. *ἀνοσίου. τάδ' οὖν ξυνεὶς* Dindorf || **285** *καὶ φύλασσε* **Zo**, Suda 2, 492, 10 || **286** *δυσπρόσοπτον* **LKUY** *-ωπον* **AQRZnZoT** | *εἰσορᾶν* Wakefield || **287** *ἱρὸς* Dindorf || **288** *δὲ* **T** *ὁ* **QRAUYZn** *δ' ὁ* **LKZo** || **289** *ὑμῖν* **Zo** || **292** *γηραιὲ* **Zo** || **293** *'στ'* **LK** *τ'* **QRAUY** *γ'* **ZnZoT** || **294** *τῆσδε*] *τῆς* **LQR** *τῆδε* **Zo** || **298** *ἔπεμψεν* **LQZnZoT** *ἔπεμπεν* **L** s. l., **KRAUY**

ΟΙ. ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπὴν
300 ἢ φροντίδ' ἕξειν αὐτὸν ὥστ' ἐλθεῖν πέλας;
ΧΟ. καὶ κάρθ', ὅταν περ τοὔνομ' αἴσθηται τὸ σόν.
ΟΙ. τίς δ' ἔσθ' ὁ κείνωι τοῦτο τοὔπος ἀγγελῶν;
ΧΟ. μακρὰ κέλευθος· πολλὰ δ' ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀίων,
305 θάρσει, παρέσται· πολὺ γάρ, ὦ γέρον, τὸ σὸν
ὄνομα διήκει πάντας, ὥστε κεἰ βραδὺς
εὕδει, κλύων σοῦ δεῦρ' ἀφίξεται ταχύς.
ΟΙ. ἀλλ' εὐτυχὴς ἵκοιτο, τῆι θ' αὑτοῦ πόλει
ἐμοί τε· τίς γὰρ ἐσθλὸς οὐ χαὐτῶι φίλος;
310 ΑΝ. ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω, πάτερ;
ΟΙ. τί δ' ἔστι, τέκνον Ἀντιγόνη;
ΑΝ. γυναῖχ' ὁρῶ
στείχουσαν ἡμῶν ἆσσον, Αἰτναίας ἐπὶ
πώλου βεβῶσαν· κρατὶ δ' ἡλιοστεγὴς
κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
315 τί φῶ;
ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἦ γνώμη πλανᾶι;
καὶ φημὶ κἀπόφημι, κοὐκ ἔχω τί φῶ.
τάλαινα·
οὐκ ἔστιν ἄλλη. φαιδρὰ γοῦν ἀπ' ὀμμάτων

299–307 eiecit Wecklein || **300** *αὐτὸν ὥστ'* Porson *ἐμπόνως τ'* **Zo** *ἀπόντ'* **QR** *ἀπόνως τ'* rell. || **302** *δ'* om. **L** || **303** *μικρὰ* Bothe || **306** *πάντοσ'* Blaydes | *ὥστ' εἰ καὶ* **K**, verum **K** i. m. || **308** *θ' αὑτοῦ* **AUYZo** *τ' αὐτοῦ* **LKQRZnT** || **309** *οὐ χαὐτῶι* volunt **QRAUYZn** *οὐκ αὐτῶι* **Zo** *οὐχ αὐτῶι* **LKT**, Suda 4, 732, 17 || **312** *ἔπι* **L** || **313** *ἡλιοστερὴς* codd.: corr. Coraes *-σκεπὴς* Nauck || **315** *τί φημί* Elmsley *τί φωνῶ* Meineke || **316** *ἆρ' ἔστιν; οὐκ ἔνεστιν; ἡ γνώμη πλανᾶι* Suda 1, 345, 11 || *ἦ* Hartung *ἢ* codd. | *πλανῶ* **L** in lin. || **319** *φαιδρὸν οὖν* **T**

320 σαίνει με προσστείχουσα· σημαίνει δέ τι·
μόνης τόδ' ἐστί, δῆλον, Ἰσμήνης κάρα.
ΟΙ. πῶς εἶπας, ὦ παῖ;
ΑΝ. παῖδα σήν, ἐμὴν δ' ὁρᾶν
ὅμαιμον· αὐδῆι δ' αὐτίκ' ἔξεστιν μαθεῖν.

ΙΣΜΗΝΗ

ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
325 ἥδιστα προσφωνήμαθ', ὡς ὑμᾶς μόλις
εὑροῦσα λύπηι δεύτερον μόλις βλέπω.
ΟΙ. ὦ τέκνον, ἥκεις;
ΙΣ. ὦ πάτερ δύσμοιρ' ὁρᾶν.
ΟΙ. τέκνον, πέφηνας;
ΙΣ. οὐκ ἄνευ μόχθου γέ μοι.
ΟΙ. πρόσψαυσον, ὦ παῖ.
ΙΣ. θιγγάνω δυοῖν ὁμοῦ.
330 ΟΙ. ὦ σπέρμ' ὅμαιμον.
ΙΣ. ὦ δυσάθλιαι τροφαί.
ΟΙ. ἦ τῆσδε κἀμοῦ;
ΙΣ. δυσμόρου τ' ἐμοῦ τρίτης.
ΟΙ. τέκνον, τί δ' ἦλθες;
ΙΣ. σῆι, πάτερ, προμηθίαι.

320 *σαίνει* **ZnZoT** *σημαίνει* rell. | *προσσ-* voluit **K** s.l., et coni. Dindorf *προστείχουσα* rell. | *δέ τι·* Jackson *δ' ὅτι* codd. || **321** *ἐστὶν Ἰσμήνης φίλον κάρα* Suda 4, 350, 21 *ἐστὶ φίλιον* Hermann *ἐστ' ἀδελφὸν* Jacobs || **323** *ὁμαίμον'* **K** | *ἔξεσται* Dobree || **327** *δύσμοιρ'* **AUY** *δύσμορ'* rell. || **328** *γ' ἐμοῦ* **K** *γέ του* Blaydes || **330** post 327 scr. codd., nisi quod *ὦ δυσάθλιαι τροφαὶ τέκνον πέφηνας* non suis locis sed quasi versum Ismenae post 329 scr. **Q**[ac]: corr. Musgrave | *δυσάθλιοι* Hermann *δὶς ἄθλιαι* Schaedel | *τροφαί*] *σποραί* **K** || **331** *τ'* Markland *δ'* codd. | *ἐμοὶ* **Q**[ac]**R**, corr. **Q**[2] *ἐμῆς* **AUY**

ΟΙ. πότερα πόθοισι;
ΙΣ. καὶ λόγων γ' αὐτάγγελος,
ξὺν ὧιπερ εἶχον οἰκετῶν πιστῶι μόνωι.
335 ΟΙ. οἱ δ' αὐθόμαιμοι ποῦ νεανίαι πονεῖν;
ΙΣ. εἴσ' οὗπέρ εἰσι· δεινὰ τἀν κείνοις τανῦν.
ΟΙ. ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτωι νόμοις
φύσιν κατεικασθέντε καὶ βίου τροφάς·
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
340 θακοῦσιν ἱστουργοῦντες, αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
σφῶιν δ', ὦ τέκν', οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
σφὼ δ' ἀντ' ἐκείνοιν τἀμὰ δυστήνου κακὰ
345 ὑπερπονεῖτον· ἡ μὲν ἐξ ὅτου νέας
τροφῆς ἔληξε καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη
γερονταγωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη,
350 πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασι
μοχθοῦσα τλήμων δεύτερ' ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
σὺ δ', ὦ τέκνον, πρόσθεν μὲν ἐξίκου πατρὶ

333 *λόγων γ'* L s. l. *λόγων* KRT *λόγοις* Q *λόγοις γ'* L in lin. *λόγοις τ'* rell. ‖ 335 *αὐθόμαιμοι* AUY *αὖθ' ὅμαιμοι* LQZn ZoT *αὖ δ' ὅμ-* K *αὖθ' ὅμαιμον* R | *ποῦ* KZo *ποῖ* rell. | *πονεῖ* UY *κυρεῖν* K ‖ 336 *τἀν κείνοις* Schaefer ex Σ *τἀκείνοις* ZnZoT *δ' ἐκείνοις* L^{ac} *δ' ἐν κείνοις* L^{spc}KQRA^{pc}U^{pc}Y *δ' κείνοις* A^{ac} *δ' ἐν ἐκείνοις* U^{ac} ‖ 338 *τ' ἀπεικασθέντε* Blaydes | *καὶ τροφὰς βίου* R: idem, nisi quod *στροφάς*, Q ‖ 344 *ἐκείνοιν* QRZo *-ου* Zn, T in lin. *-ων* T s. l., rell. ‖ 346 *ἔληξεν* LK ‖ 349 *νήλιπος* Wakefield: cf. Pearson, Class. Quart. 24 (1930) 160 | *τ'* om. ZnZo ‖ 350 *πολλοῖσιν ὄμ-* L^{ac}, corr. L^{1} ‖ 351 *δεῦρ'* LK | *δεῦρο* QR ‖ 352 *ἔχει* in lin. ZnT

μαντεῖ' ἄγουσα πάντα, Καδμείων λάθρα,
355 ἃ τοῦδ' ἐχρήσθη σώματος, φύλαξ δέ μοι
πιστὴ κατέστης, γῆς ὅτ' ἐξηλαυνόμην.
νῦν δ' αὖ τίν' ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ' ἐγὼ σαφῶς
360 ἔξοιδα, μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσά τι.
ΙΣ. ἐγὼ τὰ μὲν παθήμαθ' ἅπαθον, πάτερ,
[ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφήν,]
παρεῖσ' ἐάσω· δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ' ἀλγεῖν καὶ λέγουσ' αὖθις πάλιν.
365 ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦσ' ἐλήλυθα.
πρὶν μὲν γὰρ αὐτοῖς †ἦν ἔρις† Κρέοντί τε
θρόνους ἐᾶσθαι μηδὲ χραίνεσθαι πόλιν
λοιγῶι, σκοποῦσι τὴν πάλαι γένους φθοράν,
370 οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
νῦν δ' ἐκ θεῶν του κἀξ ἀλειτηροῦ φρενὸς
εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακή,
ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.

355 τέ Elmsley | μοι Jebb μου codd. || **358** ἐξῆκεν **ZnZo** || **360** φέρουσ' ἔτι **QR** || **362** eiecit Herwerden || **366** σημαίνουσ' **L** σημαίνουσ' **QR** σημαινοῦσ' **Y** καὶ σημανοῦσ' **Zo** || **367** αὐτοῖν Meineke | ἦν ἔρις] ἤρεσεν Bergk | τε] γῆς Enger τοὺς Dindorf || **368** ἐᾶσαι Campe || **369** λόγωι codd.: corr. Madvig | φθορὰν γένους **QR** || **370** οἵα **QRZn** οἷαν **AUYT** | τὸν τρισάθλιον Suda 4, 614, 15 || **371** κἀξ ἀλειτηροῦ Campbell: vide Radt, Mnemosyne S. IVa, 19 (1966) 174 κἀξαλιτηροῦ **LK** κἀξ ἀλιτηροῦ **AUY**, Suda 1, 115, 9 κἀξαλιτήρου **R** κἀξαλιτήροῦ **Q** κἀξ ἀλητήρου **ZnZo**[pc] -είρου **Zo**[ac] κἀξαλιτηρίου **T** κἀλιτηρίου Toup || **372** τρισαθλίοιν codd.: divisim Porson || **373** τυραννικοῦ κράτους **QR**

χὠ μὲν νεάζων καὶ χρόνωι μείων γεγὼς
375 τὸν πρόσθε γεννηθέντα Πολυνείκη θρόνων
ἀποστερίσκει, κἀξελήλακεν πάτρας.
ὁ δ', ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύων λόγος,
τὸ κοῖλον Ἄργος βὰς φυγὰς προσλαμβάνει
κῆδός τι καινὸν καὶ ξυνασπιστὰς φίλους,
380 ὡς αὐτίκ' †Ἄργος† ἢ τὸ Καδμείων πέδον
†τιμῆι† καθέξων ἢ πρὸς οὐρανὸν βιβῶν.
ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων,
ἀλλ' ἔργα δεινά. τοὺς δὲ σοὺς ὅπηι θεοὶ
πόνους κατοικτιοῦσιν οὐκ ἔχω μαθεῖν.
385 ΟΙ. ἤδη γὰρ ἔσχες ἐλπίδ' ὡς ἐμοῦ θεοὺς
ὤραν τιν' ἕξειν, ὥστε σωθῆναί ποτε;
ΙΣ. ἔγωγε τοῖς νῦν γ', ὦ πάτερ, μαντεύμασιν.
ΟΙ. ποίοισι τούτοις; τί δὲ τεθέσπισται, τέκνον;
ΙΣ. σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
390 θανόντ' ἔσεσθαι ζῶντά τ' εὐσοίας χάριν.
ΟΙ. τίς δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἄν;
ΙΣ. ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
ΟΙ. ὅτ' οὐκέτ' εἰμί, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ;

374 *χρόνωι*] *γονῆι* Blaydes ‖ **375** *Πολυνείκην* **QRZnZoT** | *θρόνον* **AUY** ‖ **376** *ἀποστερίζει* **ZnZo** ‖ **377** *πληθύνων* **ZnZoT** ‖ **379** *τι* Dawe *τε* codd. | *κλεινὸν* Elmsley ‖ **380** *Ἄργος*] *ἄρας* Cristofolini | *Καδμεῖον* **A** ‖ **381** *τιμῆι*] *τι δῆ* $\mathbf{Q}^{ac}$**R**, corr. $\mathbf{Q}^{2}$ per *τιμωρίαι* explicat Σ, sed totus locus conclamatus ‖ **383** *δεινά*] *δῆλα* Dawe | *ὅπηι* **Zo**, coni. Halm *ὅποι* rell. *ὅπου* Elmsley ‖ **384** *κατοικιοῦσιν* Par. gr. 2886, coni. Purgold ‖ **385** *ὧδ'* Hartung *ὥστ'* Jebb ‖ **386** *ὤραν* $\mathbf{L}^{ac}$ *ὥραν* $\mathbf{L}^{pc}$ rell. (*φροντίδα* frequens gl.) ‖ **387** *γ'* om. **KQRT** ‖ **390** *εὐσοίας* $\mathbf{T}^{γρ}$, $\mathbf{L}^{sγρ}$ inter Σ, Zonaras 912, Suda 2, 474, 4 *εὐνοίας* fere rell. ‖ **391** *τί* **K**$\mathbf{Q}^{ac}\mathbf{A}^{ac}$ | *δ' ἂν*] *γὰρ* **QR** | *τοιοῦδέ γ'* **QR**, coni. Wunder | *ὑπ'* om. **LKQR** | *ἄν* om. **QR** ‖ **392** *φησὶ* **QR**, coni. Bergk ‖ **393** *οὐδὲν* Blaydes

ΙΣ. νῦν γὰρ θεοί σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
395 ΟΙ. γέροντα δ' ὀρθοῦν φλαῦρον ὃς νέος πέσηι.
ΙΣ. καὶ μὴν Κρέοντά γ' ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
ΟΙ. ὅπως τί δράσηι, θύγατερ; ἑρμήνευέ μοι.
ΙΣ. ὥς σ' ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
400 κρατῶσι μέν σου, γῆς δὲ μὴ 'μβαίνηις ὅρων.
ΟΙ. ἡ δ' ὠφέλησις τίς θύρασι κειμένου;
ΙΣ. κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
ΟΙ. κἄνευ θεοῦ τις τοῦτό γ' ἂν γνώμηι μάθοι.
ΙΣ. τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
405 χώρας θέλουσι, μηδ' ἵν' ἂν σαυτοῦ κρατοῖς.
ΟΙ. ἦ καὶ κατασκιῶσι Θηβαίαι κόνει;
ΙΣ. ἀλλ' οὐκ ἐᾶι τοὔμφυλον αἷμά σ', ὦ πάτερ.
ΟΙ. οὐκ ἄρ' ἐμοῦ γε μὴ κρατήσωσίν ποτε.
ΙΣ. ἔσται ποτ' ἄρα τοῦτο Καδμείοις βάρος.
410 ΟΙ. ποίας φανείσης, ὦ τέκνον, συναλλαγῆς;
ΙΣ. τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν στῶσιν τάφοις.
ΟΙ. ἃ δ' ἐννέπεις κλύουσα τοῦ λέγεις, τέκνον;
ΙΣ. ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ' ἑστίας.
ΟΙ. καὶ τοῦτ' ἐφ' ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
415 ΙΣ. ὥς φασί γ' οἱ μολόντες εἰς Θήβης πέδον.
ΟΙ. παίδων τις οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
ΙΣ. ἄμφω γ' ὁμοίως, κἀξεπίστασθον καλῶς.

395 φαῦλον Zo, coni. Blaydes || **399** ὥς σ'] ὥσ' **K** ὡς **QRZo** || **401** θύραισι codd.: corr. Elmsley || **405** κρατοῖς Brunck κρατῇς codd. || **407** σύμφυλον **ZnZo** | αἷμά σου Meineke || **408** ἔμοιγε **RQ**[ac], corr. **Q**[2] | γε om. **AUY** | κρατήσουσίν **T** s. l.: idem fort. novit **Σ** (ὁ δὲ μὴ πλεονάζει) || **411** ὅτ' ἐνστῶσιν Par. gr. 2886, coni. Schaefer || **414** ἡμῶν **ZnZoT** || **415** φασί γ' Blaydes φασὶν codd. || **416** τίς codd. (δὲ τὶς **Q**) | οὖν om. **QR** || **417** γ' **ZnZoT** θ' rell.

ΟΙ. κἄιθ' οἱ κάκιστοι τῶνδ' ἀκούσαντες πάρος
τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
420 ΙΣ. ἀλγῶ κλύουσα ταῦτ' ἐγώ, φέρω δ' ὅμως.
ΟΙ. ἀλλ' οἱ θεοί σφιν μήτε τὴν πεπρωμένην
ἔριν κατασβέσειαν, ἐν δ' ἐμοὶ τέλος
αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι
ἧς νῦν ἔχονται κἀπαναίρονται δόρυ·
425 ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει
μείνειεν, οὔτ' ἂν οὑξεληλυθὼς πάλιν
ἔλθοι ποτ' αὖθις· οἵ γε τὸν φύσαντ' ἐμὲ
οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
οὐκ ἔσχον οὐδ' ἤμυναν, ἀλλ' ἀνάστατος
430 αὐτοῖν ἐπέμφθην κἀξεκηρύχθην φυγάς.
εἴποις ἂν ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατήινεσεν.
οὐ δῆτ', ἐπεί τοι τὴν μὲν αὐτίχ' ἡμέραν,
ὁπηνίκ' ἔζει θυμός, ἥδιστον δέ μοι
435 τὸ κατθανεῖν ἦν καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἔρωτ' ἐς τόνδ' ἐφαίνετ' ὠφελῶν·
χρόνωι δ', ὅτ' ἤδη πᾶς ὁ μόχθος ἦν πέπων,
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,

421 *σφιν* Elmsley *σφε* **KZnZoT** *σφι* rell. | *τὴν πεπρωμένην* **ZnZoT**, *γρ.* **AUYQ** *τὴν πεπραγμένην* **L** s.l., **KQ**[2pc] *τῶν πεπραγμένων* **AUYQ**[ac]**R**, **L** in lin. ‖ **422** *ἔν τ'* Elmsley ‖ **423** *αὐτοῖν* **AUY** *αὐτῶν* rell. ‖ **424** *κἀπαναίρονται* Hermann *κἀπαναινοῦνται* **Q**[ac] *κἀπαναιροῦνται* **Q**[2pc] rell. ‖ **426** *ἂν* om. **L** | *ἐξεληλυθὼς* **LKQR** | *πόλιν* **AUYQ**[γρ] ‖ **427** *οἵ*] *εἴ* **U** ‖ **429** *ἤμυνον* **AUY** ‖ **430** *αὐτὴν* **Zn** *αὐτοῖς* **Zo** | *φυγάς*] *χθονός* **Q** ‖ **432** *κατήνεσεν* **ZnZoT** *-ηίνυσεν* **L** *-ήνυσεν* rell. ‖ **436** *ἔρωτ' ἐς τόνδ'* Blaydes *ἔρως τοῦδ'* **ZnZo** *ἔρωτος τοῦδ'* rell. *ἀρωγὸς τόνδ'* Broadhead | *ὠφελεῖν* **A** vel **A**[pc]

440 τὸ τηνίκ' ἤδη τοῦτο μὲν πόλις βίαι
ἤλαυνέ μ' ἐκ γῆς χρόνιον, οἱ δ' ἐπωφελεῖν,
οἱ τοῦ πατρός, τῶι πατρὶ δυνάμενοι τὸ δρᾶν
οὐκ ἠθέλησαν, ἀλλ' ἔπους σμικροῦ χάριν
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἀεί.
445 ἐκ τοῖνδε δ', οὔσαιν παρθένοιν, ὅσον φύσις
δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου
καὶ γῆς ἄδειαν καὶ γένους ἐπάρκεσιν·
τὼ δ' ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους
καὶ σκῆπτρα κραίνειν καὶ τυραννεύειν χθονός.
450 ἀλλ' οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου,
οὐδέ σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει· τοῦτ' ἐγῷδα, τῆσδέ τε
μαντεῖ' ἀκούων, συννοῶν τε κἀξ ἐμοῦ
παλαίφαθ' ἁμοὶ Φοῖβος ἤνυσέν ποτε.
455 πρὸς ταῦτα καὶ Κρέοντα πεμπόντων ἐμοῦ
μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέληθ' ὁμοῦ
σὺν ταῖσδε ταῖς σεμναῖσι δημούχοις θεαῖς

440 *τότ' ἠνίκ'* **K** *τόθ' ἠνίκ'* **RZoT** *τὸ τηνικάδ'* **A** *τὸ τη*-νίκ'* **L** || **441** *ἤλαυνεν ἐκ* **ZnZoT** || **443** *ἀλλά που* **L**[pc]**T** | *ἀλλ' ἐπ' οὐ* **Zn** *ἀλλ' ἰποῦ* **Zo** | *μικροῦ* **KAUY** || **444** *ἀεί* **LKQR** *ἐγώ* **Q**[2] s. l., rell. || **445** *κἀκ* **ZnZoT** | *τῶνδε* **ZnZo** *ταῖνδε* rell. | *κἀκ ταῖνδε δισσαῖν* Pierson | *παρθένοιν δ'* **QR** || **446** *αὐτῶν* **ZnZoT** || **447** locutiones obscurae | *γένους*] *ξένων* **Q** *τέγους* Madvig || **448** *εἵλεσθον* **QR** || **450** *οὔτε* Elmsley || **451** *οὐδέ* Hermann *οὔτ' ἄν* **Q** *οὔτε* rell. || **452** *ὄνησιν* **ZnZo** | *ἕξει* **L** in lin. *ἕξειν* **Zo** *ἥξειν* **Zn** | *τε* **ZnZoT** *γε* rell. || **453** *τε κἀξ* Dawe: cf. El. 885 *τά τ' ἐξ* codd. *τε τἀπ'* Meineke, idem cum *ἐμοὶ* Rauchenstein || **454** *ἅ μοι* codd.: corr. Heath | *ἤπυσεν* Campe || **456** *πόλει*] *δόμοις* **K** || **457** *θέλητέ μου* (*μοι* **K**) codd.: corr. Dindorf || **458** *σὺν ταῖσδε* Canter *πρὸς ταῖσι* **L** *σὺν ταῖσι* **L** s. l., rell. *προστάτισι* Dindorf | *σεπταῖσι* **K**

ἀλκὴν ποεῖσθαι, τῆιδε μὲν πόλει μέγαν
460 σωτῆρ' ἀρεῖσθε, τοῖς δ' ἐμοῖς ἐχθροῖς πόνους.
ΧΟ. ἐπάξιος μέν, Οἰδίπους, κατοικτίσαι,
αὐτός τε παῖδές θ' αἵδ'· ἐπεὶ δὲ τῆσδε γῆς
σωτῆρα σαυτὸν τῶιδ' ἐπεμβάλλεις λόγωι,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.
465 ΟΙ. ὦ φίλταθ', ὡς νυν πᾶν τελοῦντι προξένει.
ΧΟ. θοῦ νυν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ' ἃς
τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.
ΟΙ. τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.
ΧΟ. πρῶτον μὲν ἱερὰς ἐξ ἀειρύτου χοὰς
470 κρήνης ἐνεγκοῦ, δι' ὁσίων χειρῶν θιγών.
ΟΙ. ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;
ΧΟ. κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.
ΟΙ. θαλλοῖσιν ἢ κρόκαισιν, ἢ ποίωι τρόπωι;
475 ΧΟ. οἰός ⟨γε⟩ νεαρᾶς νεοπόκωι μαλλῶι λαβών.

459 *ποεῖσθε* **LK** *ποιεῖσθε* **QR** *ποιεῖσθαι* rell. | *μὲν* **QRZn ZoT** *τῆι* **AUY** *μὲν τῆι* **LK** ‖ **460** *ἐμῆς* **L** *δὲ γῆς* Nauck ‖ **461** *ἐπάξιον* **L** in lin., **KQR** ‖ **462** *παῖδε* **Zo** ‖ **464** *ξύμφορα* **ZnZoT** ‖ **465–466** *νυν* utroque loco **T** *νῦν* rell. ‖ **467** *ἥκου* **K** | *κατέστειψας* **QAUYT** *-στιψας* **LK** *-στεψας* **ZnZo**, et *-στέψας* Suda 3, 59, 20 *κατάστεψον* L[syρ] et lemma Suda *κατέστειεν* **R** ‖ **469** *ἱρὰς* Dindorf | *ἀειρύτου* **Q** *ἀειρρύτου* rell. ‖ **469–471** post 476 traiecit Bergk ‖ **470** *ἐνέγκαι* **Zo** in lin.: *ἐνέγκου* rell., et vult **Zo** s. l.: corr. Elmsley *ἐνέγκοι* Σ Ar. Ach. 961 ‖ **471** *χεῦμα τοῦτ'* Par. gr. 2886 et Suda 4, 812, 14 | *βαλών* L[c] in lin. *λαβών* ut vid. L[ac] verum L[s] s. l., rell. *λάβῃς* Σ Ar. ‖ **473** *κατέρεψον καὶ λαβὰς ἀμφὶ στόμα* Suda loc. cit.: *κατέρεψον* etiam 3, 225, 9 ‖ **474** *κρόκοισιν* **ZnZoT** ‖ **475** *γε* add. Heath | *νεωροῦς* (falso accentu) Musgrave *νεαλοῦς* Dindorf | *νεοπόκωι* Canter *νεοτόκωι* **Q**[pc]**AUY** *σὺν νεοτόκωι* **K** *οἰνεοτόκωι* **LQ**[ac] *οἰνοτόκωι* **R** *οἰοπόκωι* L[sgl]**ZnT** *οἰοπώκωι* **Zo** | *βαλών* **Q**[2pc]**AUY**

	ΟΙ.	*εἶέν. τὸ δ’ ἔνθεν πῆι τελευτῆσαί με χρή;*
	ΧΟ.	*χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω.*
	ΟΙ.	*ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;*
	ΧΟ.	*τρισσάς γε πηγάς· τὸν τελευταῖον δὲ χοῦν...*
480	ΟΙ.	*τοῦ τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.*
	ΧΟ.	*ὕδατος, μελίσσης, μηδὲ προσφέρειν μέθυ.*
	ΟΙ.	*ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχηι;*
	ΧΟ.	*τρὶς ἐννέ’ αὐτῆι κλῶνας ἐξ ἀμφοῖν χεροῖν*
		τιθεὶς ἐλαίας τάσδ’ ἐπεύχεσθαι λιτάς.
485	ΟΙ.	*τούτων ἀκοῦσαι βούλομαι· μέγιστα γάρ.*
	ΧΟ.	*ὥς σφας καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν*
		στέρνων δέχεσθαι τὸν ἱκέτην σωτηρίους,
		αἰτοῦ σύ τ’ αὐτὸς κεἴ τις ἄλλος ἀντὶ σοῦ,
		ἄπυστα φωνῶν μηδὲ μηκύνων βοήν·
490		*ἔπειτ’ ἀφέρπειν ἄστροφος. καὶ ταῦτά σοι*
		δράσαντι θαρσῶν ἂν παρασταίην ἐγώ,
		ἄλλως δὲ δειμαίνοιμ’ ἄν, ὦ ξέν’, ἀμφὶ σοί.
	ΟΙ.	*ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων;*
	ΙΣ.	*ἠκούσαμέν τε, χὤ τι δεῖ πρόστασσε δρᾶν.*
495	ΟΙ.	*ἐμοὶ μὲν οὐχ ὁδωτά· λείπομαι γὰρ ἐν*
		τῶι μὴ δύνασθαι μηδ’ ὁρᾶν, δυοῖν κακοῖν·

476 *εἶεν* codd. | *πῆι* Elmsley *ποῦ* **Zo** *ποῖ* rell. | *δεῖ* **Zo** || **478** *κροσσοῖς* **QRAZo** *κροσσῶν* **K**^{ac} *κρωσσῶν* **K**^{pc} | *λέγοις* **R** *λέγω* **ZnZo** | *τόδε* **ZnZoT** || **479** *γε*] *τε* **AUY** *δὲ* **QR** | *δὲ χοῦν* Heimsoeth *δ’ ὅλον* codd. || **480** *θῶ*] *τῶι* **ZnT** *τοῦ* **Zo** *θ῀ ὠ’* **K** *δῶ* Enger | [*θῶ*] *προσδίδασκε* Lloyd-Jones || **484** *ἐλάας* Dindorf || **487** *σωτήριον* codd.: corr. Bake || **488** *τ’* Flor. Ricc. 34 *γ’* codd. nostri || **491** *θαρρῶν* codd.: corr. Brunck | *παρασταίην* **ZnZo** *-αίμην* rell. || **492** *δὲ*] *δ’ αὖ* **L** *δ’ ἂν* **K** || **494** *σε* **L**^{ac} | ante hunc versum paragraphum scr. **L**: Ismenae tribuunt **KQR**, Antigonae et Ismenae simul **AUYT**, personae nota caret **Zn**, de **Zo** non liquet || **496** *μηδ’* Elmsley *μήθ’* codd.

σφῷν δ' ἀτέρα μολοῦσα πραξάτω τάδε.
ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
ψυχὴν τάδ' ἐκτίνουσαν, ἢν εὔνους παρῆι.
500 ἀλλ' ἐν τάχει τωι πράσσετον· μόνον δέ με
μὴ λείπετ'· οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
ἔρημον ἕρπειν οὐδ' ὑφηγητοῦ δίχα.
ΙΣ. ἀλλ' εἶμ' ἐγὼ τελοῦσα· τὸν τόπον δ' ἵνα
χρῆσταί μ' ἀφιεροῦν ταῦτα βούλομαι μαθεῖν.
505 ΧΟ. τοὐκεῖθεν ἄλσους, ὦ ξένη, τοῦδ'. ἢν δέ του
σπάνιν τιν' ἴσχηις, ἔστ' ἔποικος, ὃς φράσει.
ΙΣ. χωροῖμ' ἂν εἰς τόδ'· Ἀντιγόνη, σὺ δ' ἐνθάδε
φύλασσε πατέρα τόνδε· τοῖς τεκοῦσι γὰρ
οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.

510 ΧΟ. δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη *στρ. α*
κακόν, ὦ ξεῖν', ἐπεγείρειν·
ὅμως δ' ἔραμαι πυθέσθαι...
ΟΙ. τί τοῦτο;
ΧΟ. τᾶς δειλαίας ἀπόρου φανείσας
ἀλγηδόνος, ἇι ξυνέστας.

497 *δ'* om. **QR** | *ἡ' τέρα* vel *ἡτέρα* codd.: corr. Elmsley || **499** *ἐκτείνουσαν* codd.: corr. Canter || **500** *τωι* Schneidewin om. **ZnZo** *τι* rell. *τοι* Lievens || **502** *ὑφήγητοῦ* **K** *ὑφ' ἡγητοῦ* **Zo** | *δίχα* Hermann (cf. *δ' ἵνα* in fine v. 503) *γ' ἄνευ* **ZoT** *δ' ἄνευ* rell. || **503** *τοῖς τόποις* **ZnZo** || **504** *χρῆσται* L^{ac} *χρῆ 'σταί* L^{pc}**A YT** *χρῆ ''σταί* **U** *χρῆσταί* **K**Q^{2pc}**R** *χρή ται* Q^{ac} *χρησταί* **ZnZo** | *ἀφιεροῦν ταῦτα* Dawe *ἐφευρεῖν τοῦτο* codd. || **505** *ἄλσος* Q^{ac}**R**, corr. Q^{2} | *ἄλσος ... τόδ'* Elmsley | *ξένοι* **Q** in lin. || **506** *ἴσχηις* **LKZnZoT** *-εις* **QRAUY** || **507** *ἐς* **Zo** || **509** *πονῇ* **L** || **514** *ἀλγηδόνας* L^{ac}**ZnZoT**

515 ΟΙ. μὴ πρὸς ξενίας ἀνοίξῃς
†τᾶς σᾶς· πέπονθ'† ἔργ' ἀναιδῆ.
ΧΟ. τό τοι πολὺ καὶ μηδαμὰ λῆγον
χρῄζω, ξεῖν', ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.
ΟΙ. ὤμοι.
ΧΟ. στέρξον, ἱκετεύω.
ΟΙ. φεῦ φεῦ.
520 ΧΟ. πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.

ΟΙ. ἤνεγκ', ὤ, κακότατ', ὦ ξένοι, ἤνεγκ' ἀντ. α
ἀέκων μέν, θεὸς ἴστω·
τούτων δ' αὐθαίρετον οὐδέν.
ΧΟ. ἀλλ' ἐς τί;
525 ΟΙ. κακᾷ μ' εὐνᾷ πόλις οὐδὲν ἴδριν
γάμων ἐνέδησεν ἄται.
ΧΟ. ἦ ματρόθεν, ὡς ἀκούω,
δυσώνυμα λέκτρ' ἐπλήσω;
ΟΙ. ὤμοι, θάνατος μὲν τάδ' ἀκούειν,
530 ὦ ξεῖν'· αὗται δὲ δύ' ἐξ ἐμοῦ ⟨μὲν⟩ ...
ΧΟ. πῶς φῄς;
ΟΙ. παῖδε, δύο δ' ἄτα ...

515 *ξενείας* **K** et in lin. **LAUY** *μὴ πρὸς ξενίας τᾶς σᾶς γρ.* in **AUY** ‖ **516** *τὰς σὰς* **LKZn**: glossema sapit | *ἃ πέπονθ' ἀναιδῆ*, eiecto *ἔργ'*, Reisig | *ἄναυδα* Nauck: cf. Ai. 947 ‖ **517** *μηδαμὰ* Brunck *-ῶς* **T** in lin. *-ᾶ* **T** s. l., rell. ‖ **518** *ξεῖν'* Reisig *ξέν'* codd. ‖ **519** *ὤμοι* Hermann *ἰώ μοι* codd. ‖ **520** *προχρ-* **LQRZn** ‖ **521** *ἤνεγκ', ὤ,* Dawe *ἤνεγκον* codd. ‖ **521–522** *ἤνεγκον ἄκων* codd.: corr. Martin ‖ **523** *δ'* om. **QR** ‖ **525** *μ'* **K** *δ' ἐν* **QR** *μὲν* rell. | *ἴδριν* Mudge: et sunt qui hoc voluisse **Zo** s. l. existiment *ἴδρις* rell. ‖ **527** *μητρόθεν* codd.: corr. Elmsley ‖ **528** *ἔπλησαν* **ZnZo**, **T** s. l. ‖ **530** *μὲν* add. Elmsley ‖ **531** *παῖδε* Elmsley *παῖδας* **R** *παῖδες* rell. | *ἄται* **ZnZo**, et *γρ.* in **AUY** *ἄται* (iota subscr.) **QAUY**

ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος.

ΧΟ. αἵδ' εἴσ' ἄρ' ἀπόγονοί τε καὶ ... στρ. β
535 ⟨ΟΙ.⟩ κοιναί γε πατρὸς ἀδελφεαί.
ΧΟ. ἰώ.
ΟΙ. ἰὼ δῆτα μυ-
ρίων γ' ἐπιστροφαὶ κακῶν.
ΧΟ. ἔπαθες ...
ΟΙ. ἔπαθον ἄλαστ' ἔχειν.
ΧΟ. ἔρεξας ...
ΟΙ. οὐκ ἔρεξα.
ΧΟ. τί γάρ;
ΟΙ. ἐδεξάμην
540 δῶρον ὃ μήποτ' ἐγὼ ταλακάρδιος
ἐπωφελήσας ὄφελον ἐξελέσθαι.

ΧΟ. δύστανε, τί γάρ; ἔθου φόνον ... ἀντ. β
ΟΙ. τί τοῦτο; τί δ' ἐθέλεις μαθεῖν;
ΧΟ. πατρός;
ΟΙ. παπαῖ, δευτέραν
ἔπαισας, ἐπὶ νόσωι νόσον.
545 ΧΟ. ἔκανες;
ΟΙ. ἔκανον. ἔχει δέ μοι ...

534 *αἵδ' εἴσ' ἄρ'* Heimsoeth *σαί τ' ἄρ' εἴσ'* volunt **AUY**, idem (*σοί* **K**) cum *εἰσὶν* **LKQR** *αὔτ' ἄρ' εἰσὶν* **ZnZo** *αὐτὰρ εἰσὶν* **T** || **535** pers. not. add. Solger | *ἀδελφαὶ* **ZnZoT** || **536** sqq. inter *ἰὼ* et *ἔπαθες* personarum vices varie turbant codd.: corr. Solger || **537** *γ'* om. **AUYT** *δ'* **R**: *μυρίαι ἐπιστροφαὶ* Suda, tamquam ex Aristophane, 2, 385, 1 || **538** *ὀχεῖν* Wecklein || **540** *ἔγωγε* **K** || **541** *ἐπωφέλησα* codd.: corr. Meineke | *ὄφελον* Rauchenstein *πόλεως* codd. | *ἐξαίρεσθαι* **QR** *ἐξαρέσθαι* Blaydes || **544** *δεύτερά μ'* **K**

ΧΟ. *τί τοῦτο;*
ΟΙ. *πρὸς δίκας τι.*
ΧΟ. *τί γάρ;*
ΟΙ. *ἐγὼ φράσω·*
†καὶ γὰρ ἄλλους ἐφόνευσα καὶ ἀπώλεσα†
νόμωι δὲ καθαρός. ἄιδρις εἰς τόδ' ἦλθον.

ΧΟ. *καὶ μὴν ἄναξ ὅδ' ἡμὶν Αἰγέως γόνος*
550 *Θησεὺς κατ' ὀμφὴν σὴν ἐφ' ἀστάλη πάρα.*

ΘΗΣΕΥΣ

πολλῶν ἀκούων ἔν τε τῶι πάρος χρόνωι
τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς
ἔγνωκά σ', ὦ παῖ Λαΐου, τανῦν θ' ὁδοῖς
ἐν ταῖσδε λεύσσων μᾶλλον ἐξεπίσταμαι·
555 *σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα*
δηλοῦτον ἡμῖν ὄνθ' ὃς εἶ· καί σ' οἰκτίσας
θέλω 'περέσθαι, δύσμορ' Οἰδίπους, τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ' ἔχων,
αὐτός τε χὴ σὴ δύσμορος παραστάτις.
560 *δίδασκε· δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις*
λέξας ὁποίας ἐξαφισταίμην ἐγώ,

547 *καὶ γὰρ ἄλλους*] *ἄται ἀλοὺς* Lloyd-Jones, viam patefaciente Erfurdt (*ἀλοὺς ἀπάταισιν*) | *κἀπώλεσα* **ZnZoT** *καὶ ὤλεσα* Bothe | *καὶ γὰρ ἄν, οὓς ἐφόνευσ', ἔμ' ἀπώλεσαν* Mekler || **548** *νόωι* Karsten || **549** *τόκος* **QR** || **550** *ἐφ' ἀστάλη* Dindorf *ἀπεστάλη* codd. *ἀποσταλεὶς* Tournebou || **552** *σὰς* Linwood || **553** *σ' ἔγνων ἂν* Campe | *ὁδοῖς*] *ἕδραις* idem || **554** *ἐν ταῖσδε λεύσσων* Nauck *ἐν ταῖσδ' ἀκούων* codd. *ἐν ταῖσδέ σ' ἀθρῶν* Blaydes || **557** *'περέσθαι* Reisig *σ' ἐρέσθαι* **ZnZoT** *τι ἐρέσθαι* L^{pc} *τι ἔρεσθαι* L^{ac} rell. | *Οἰδίπου* codd.: corr. Elmsley, sed cf. 1346 || **561** *ὁποίας σ'* L^{pc}

ὃς οἶδα καὐτὸς ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σύ, χὡς εἷς πλεῖστ' ἀνὴρ ἐπὶ ξένης
ἤθλησα κινδυνεύματ' ἐν τὠμῶι κάραι·
565 ὥστε ξένον γ' ἂν οὐδέν' ὄνθ' ὥσπερ σὺ νῦν
ὑπεκτραποίμην μὴ οὐ συνεκσώιζειν· ἐπεὶ
ἔξοιδ' ἀνὴρ ὤν, χὤτι τῆς ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.
ΟΙ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῶι λόγωι
570 παρῆκεν ὥστε βραχέα μὴ αἰδεῖσθαι φράσαι·
σὺ γάρ μ' ὅς εἰμι κἀφ' ὅτου πατρὸς γεγὼς
καὶ γῆς ὁποίας ἦλθον εἰρηκὼς κυρεῖς·
ὥστ' ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο πλὴν
εἰπεῖν ἃ χρήιζω, χὠ λόγος διοίχεται.
575 *ΘΗ.* τοῦτ' αὐτό νυν δίδασχ', ὅπως ἂν ἐκμάθω.
ΟΙ. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοι, δῶρον οὐ σπουδαῖον εἰς ὄψιν· τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή.
ΘΗ. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
580 *ΟΙ.* χρόνωι μάθοις ἄν, οὐχὶ τῶι παρόντι πω.
ΘΗ. ποίωι γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
ΟΙ. ὅταν θάνω 'γὼ καὶ σύ μου ταφεὺς γένηι.

562 *ὃς* Dindorf *ὡς* codd. | *καὐτὸς* Doederlein *αὐτὸς* **QR** *γ' αὐτὸς* rell. || **563** *χὡς εἷς* Dobree *χὤστις* codd. || **565** *ὥστ' οὐ* Hermann | *γ' ἂν* Vauvilliers *γὰρ* codd. | *οὐδὲν* **LKZnT** || **566** *οὐ* om. **QR** | *ἐπεὶ* **KAUY** *σ' ἐπεὶ* rell. || **567** *ἐς αὔριον* **KRT** *ἐς αὔριον* **U** *ἐσαύριον* **LQZnAY** *εἰς αὔριον* **Zo** || **569** *μικρῶι* **R**[ac]**YT** || **570** *βραχέ' ἐμοὶ δεῖσθαι* codd.: corr. Pearson || **571** *κἀπὸ τοῦ* **AUY** *κἀξ ὅτου* Brunck || **572** *κἀκ* Blaydes || **574** *διοίχεται* **KQR**, et *γρ.* in **AUY** *διέρχεται* rell. || **575** *νυν* **T** *νῦν* rell. || **577** *σοι* **Q** *σοὶ* rell. | *σοι, δῶρον* sic (nisi quod *σοί*) Lloyd-Jones *σοὶ δῶρον* vulgo edd. || **578** *κρεῖσσον* **KQRZnT**, *α* sscr. **Q**[2] || **580** *πω* Schaefer *μου* **Q** *που* rell.

ΘΗ. τὰ λοῖσθ' ἄρ' αἰτῆι τοῦ βίου, τὰ δ' ἐν μέσωι
ἢ λῆστιν ἴσχεις ἢ δι' οὐδενὸς ποῆι.
585 ΟΙ. ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
ΘΗ. ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτῆι χάριν.
ΟΙ. ὅρα γε μήν· οὐ σμικρός, οὔχ, ἀγὼν ὅδε.
ΘΗ. πότερα τὰ τῶν σῶν ἐκγόνων ἢ τοῦ λέγεις;
⟨ΟΙ. ....
ΘΗ. ....⟩
ΟΙ. κεῖνοι κομίζειν κεῖσ' ἀναγκάσουσί σε.
590 ΘΗ. ἀλλ' εἰ δέονταί γ', οὐδὲ σοὶ φεύγειν καλόν.
ΟΙ. ἀλλ' οὐδ', ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.
ΘΗ. ὦ μῶρε, θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον.
ΟΙ. ὅταν μάθηις μου, νουθέτει, τανῦν δ' ἔα.
ΘΗ. δίδασκ'· ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.
595 ΟΙ. πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.
ΘΗ. ἦ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;
ΟΙ. οὐ δῆτ', ἐπεὶ πᾶς τοῦτό γ' Ἑλλήνων θροεῖ.
ΘΗ. τί γὰρ τὸ μεῖζον ἢ κατ' ἄνθρωπον νοσεῖς;
ΟΙ. οὕτως ἔχει μοι· γῆς ἐμῆς ἀπηλάθην
600 πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔστιν δέ μοι
πάλιν κατελθεῖν μήποθ', ὡς πατροκτόνωι.

583 *λοῖσθ' ἄρ* $L^{sγρ}$ *λοῖσθ'* **A** *λοίσθ'* codex A Suda 3, 266, 30 *λοίσθι'* rell. || 584 *ποιοῦ* L^{ac} *ποιεῖ* L^{pc} *ποιῆι* L^{spc} rell. || 587 *οὐ*] *ω* **L** s.l. *ὡς* **K** | *οὐχ* L^{ac} *οὖν* L^{pc}**QR** *ἔστ'* **Zo** *γὰρ* **ZnT** *οὐκ* **KAUY** | *ἀγὼν* codd.: corr. Elmsley || 588 *τὰ*] *δὲ* **QRZnZoT** | *ἐγγενῶν* Hartung | *ἢ τοῦ* Bake *ἢ 'μοῦ* codd. *κἀμοῦ* Schneidewin | lacunam notavit Dawe || 589 *ἀναγκάσουσί* **ZnZoT** *-άζουσί* rell. *ἄναξ, χρήιζουσί* Kayser | *σε* Hartung *με* codd. || 590 *δέονταί γ'* Kuiper *θέλοντά γ'* **K** *θέλοιεν ἂν* **Zo** *θέλοιντ' ἂν* **ZnT** *θέλοντ' ἄν γ'* rell. || 592 *δ'* om. **KQR** et Stobaeus 3, 544, 5 | *ξύμφορος* Stobaeus et Ven. 616 || 594 *χρῆν* Campe | *ψέγειν* Herwerden || 595 *κακοῖς*] *δεινοῖς* **QR** || 596 *τάλαιναν* **Q** | *ἐρεῖς γένους* **QR**

ΘΗ. πῶς δῆτά σ' ἂν πεμψαίαθ', ὥστ' οἰκεῖν δίχα;
ΟΙ. τὸ θεῖον αὐτοὺς ἐξαναγκάσει στόμα.
ΘΗ. ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;
605 ΟΙ. ὅτι σφ' ἀνάγκη τῆιδε πληγῆναι χθονί.
ΘΗ. καὶ πῶς γένοιτ' ἂν κάμὰ τἀκείνων πικρά;
ΟΙ. ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίγνεται
θεοῖσι γῆρας οὐδὲ κατθανεῖν ποτε,
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος·
610 φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος,
θνήισκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία,
καὶ πνεῦμα ταὐτὸν οὔποτ' οὔτ' ἐν ἀνδράσιν
φίλοις βέβηκεν οὔτε πρὸς πόλιν πόλει·
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρωι χρόνωι
615 τὰ τερπνὰ πικρὰ γίγνεται καὖθις φίλα.
καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
καλῶς τὰ πρὸς σέ, μυρίας ὁ μυρίος
χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἰών
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
620 δόρει διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
ἵν' οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς
ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτι Ζεύς, χὠ Διὸς Φοῖβος σαφής.

602 *δῆτ' ἄρ' ἂν* **Q** *δῆ τους ἂν* **R** || **603** *ἐξαναγκάζει* **QAUY** || **604** *δείσαντες* **ZnZoT** *δείσαν* **Q** || **606** *κἀμὰ τἀκείνων* (seu *τἀκ κείνων*) Dawe *τἀμὰ κἀκείνων* codd. || **608** *θεοῖσι* **AUY** *θεοῖς* **L** *θεοῖς τε* **K** *θεοῖς τὸ* **QRZnZoT** | *οὐδὲ μὴν θανεῖν* Philostratus Vita Apollonii 8, 7 || **610** sq. del. Nauck || **610** *οὔτ'* om. **ZnZo** || **613** *βέβαιον* Blaydes || **614** sq. nescio quis primus del. || **616** *τανῦν γ'* Bothe || **617** *τὰ* ed. Lond. 1722 *τε* codd. || **619** *δεξιώματα* **QRYZoT** *-άματα* **LKAUZn** || **620** *δόρει* Hermann *δουρὶ* **K** *ἐν δορὶ* **T** *δορὶ* rell. | *σμικροῦ λόγου* **LKT**[γρ] *σμικροῦ χρόνου* **QRAUY** (*λόγου γρ.* in **AUY**) *μακροῦ χρόνου* **ZnZoT** || **622** *αὐτὸς* **L**[ac]

ἀλλ', οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη,
625 ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων· κοὔποτ' Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.
ΧΟ. ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
630 γῆι τῆιδ' ὅδ' ἀνὴρ ὡς τελῶν ἐφαίνετο.
ΘΗ. τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
τοιοῦδ'; ὅτωι πρῶτον μὲν ἡ δορύξενος
κοινὴ παρ' ἡμῖν αἰέν ἐστιν ἑστία,
ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
635 γῆι τῆιδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
ἁγὼ σεβισθεὶς οὔποτ' ἐκβαλῶ χάριν
τὴν τοῦδε, χώραι δ' ἔμπολιν κατοικιῶ.
εἰ δ' ἐνθάδ' ἡδὺ τῶι ξένωι μίμνειν, σέ νιν
τάξω φυλάσσειν· εἰ δ' ἐμοῦ στείχειν μέτα
640 τόδ' ἡδύ, τούτων, Οἰδίπους, δίδωμί σοι
κρίναντι χρῆσθαι· τῆιδε γὰρ ξυνοίσομαι.
ΟΙ. ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.
ΘΗ. τί δῆτα χρῄζεις; ἦ δόμους στείχειν ἐμούς;
ΟΙ. εἴ μοι θέμις γ' ἦν, ἀλλ' ὁ χῶρός ἐσθ' ὅδε...
645 ΘΗ. ἐν ὧι τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι.
ΟΙ. ἐν ὧι κρατήσω τῶν ἔμ' ἐκβεβληκότων.

628 *ψεύδουσί* **K** | *με*] *μοι* L^{ac}**QR**, corr. L^2 ‖ **630** *ὅδ' ἀνὴρ* codd.: corr. Reisig *ἀνὴρ ὅδ'* Brunck ‖ **632** *ὅτωι* **QR** et Suda 2, 131, 22 *ὅτου* rell. | *φιλόξενος* **L** s. l., **K** *δορυξένοις* Kuster ‖ **635** *τῆι γῆι τε* **ZnZoT** | *σμικρὸν* **L**$K^{pc}$$Zn^{pc}$$A^{pc}$**UY** *μικρὸν* **QR** $K^{ac}$$A^{ac}$$Zn^{ac}$**ZoT** ‖ **636** *σεβασθεὶς* **ZnZoT** *σὲ βιασθεὶς* **K** *σέβας θεὶς* Mekler ‖ **637** *ἔμπαλιν* fere codd.: corr. Musgrave ‖ **638** *τὸν ξένον* **ZnZo, T** in lin. ‖ **639** *εἰ δ'* **AUY** *εἴτ'* rell. | post hunc versum lacunam indicavit Meineke ‖ **640** *Οἰδίπου* **LKQR** ‖ **643** *ἦ* Par. gr. 2886 *ἐς* **ZnZoT** *ἢ* rell.

ΘΗ. μέγ' ἂν λέγοις δώρημα τῆς ξυνουσίας.
ΟΙ. εἰ σοί γ' ἅπερ φὴις ἐμμενεῖ τελοῦντί μοι.
ΘΗ. θάρσει τὸ τοῦδέ γ' ἀνδρός· οὔ σε μὴ προδῶ.
650 ΟΙ. οὔτοι σ' ὑφ' ὅρκου γ' ὡς κακὸν πιστώσομαι.
ΘΗ. οὔκουν πέρα γ' ἂν οὐδὲν ἢ λόγωι φέροις.
ΟΙ. πῶς οὖν ποήσεις;
ΘΗ. τοῦ μάλιστ' ὄκνος σ' ἔχει;
ΟΙ. ἥξουσιν ἄνδρες...
ΘΗ. ἀλλὰ τοῖσδ' ἔσται μέλον.
ΟΙ. ὅρα με λείπων...
ΘΗ. μὴ δίδασχ' ἃ χρή με δρᾶν.
655 ΟΙ. ὀκνοῦντ' ἀνάγκη...
ΘΗ. τοὐμὸν οὐκ ὀκνεῖ κέαρ.
ΟΙ. οὐκ οἶσθ' ἀπειλάς...
ΘΗ. οἶδ' ἐγώ σε μή τινα
ἐνθένδ' ἀπάξονστ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
†πολλαὶ δ' ἀπειλαὶ† πολλὰ δὴ μάτην ἔπη
θυμῶι κατηπείλησαν· ἀλλ' ὁ νοῦς ὅταν
660 αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα.
κείνοις δ' ἴσως κεἰ δείν' ἐπερρώσθη λέγειν
τῆς σῆς ἀγωγῆς, οἶδ' ἐγώ, φανήσεται
μακρὸν τὸ δεῦρο πέλαγος οὐδὲ πλώσιμον.
θαρσεῖν μὲν οὖν ἔγωγε κἄνευ τῆς ἐμῆς
665 γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε·
ὅμως δὲ κἀμοῦ μὴ παρόντος οἶδ' ὅτι
τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.

647 *συν-* **AUY** ‖ **652** *ποιήσεις* codd. | *σ'* om. **LK** *μ'* **QR** ‖ **654** *ἃ*] *ἅπερ* **Q** | *μ' ὁρᾶν* Spengel ‖ **655** *ὀκνεῖν* **Zo** | *κάρα* **QR** ‖ **658–660** del. Wecklein ‖ **658** *πολλοὶ γὰρ ἤδη* Blaydes *πολλοὶ δὲ κἄλλοι* Platt ‖ **659** *κατηπείθησαν* Suda 4, 156, 30 ‖ **661** *κεῖνος* **Q** *κείνων* **Zn** *κείνωι* Blaydes | *ἐπερρόθη* **QR** *ἐπερρώθη* **K** ‖ **663** *πλώιμον* Blaydes ‖ **664** *κἂν ἐμῆς ἄνευ* Hermann *κἂν ἄνευ γ' ἐμῆς* Dobree *κἂν ἐμῆς δίχα* Heimsoeth ‖ **665** *προύτρεψε* **T**

ΧΟ. εὐίππου, ξένε, τᾶσδε χώ- *στρ. α*
ρας ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
670 τὸν ἀργῆτα Κολωνόν, ἔνθ'
ἁ λίγεια μινύρεται
θαμίζουσα μάλιστ' ἀη-
δὼν χλωραῖς ὑπὸ βάσσαις,
τὸν οἰνωπὸν ἔχουσα κισ-
675 σὸν καὶ τὰν ἄβατον θεοῦ
φυλλάδα μυριόκαρπον ἀνάλιον
ἀνήνεμόν τε πάντων
χειμώνων· ἵν' ὁ βακχιώ-
τας ἀεὶ Διόνυσος ἐμβατεύει
680 θεαῖς ἀμφιπολῶν τιθήναις.

θάλλει δ' οὐρανίας ὑπ' ἄ- *ἀντ. α*
χνας ὁ καλλίβοτρυς κατ' ἦμαρ αἰεὶ
νάρκισσος, μεγάλαιν θεαῖν
ἀρχαῖον στεφάνωμ', ὅ τε

670 *τὸν γὰρ* T *τόνδ'* Lievens | *ἔνθ' ἁ* Porson *ἔνθα* codd. || **671** *μύρεται* AUY || **674** *οἰνωπὸν ἔχουσα* Erfurdt *οἰνωπὰν ἔχουσα* L^{ac} *οἰνώπαν ἔχουσα* ZnZo *οἴνοπ' ἀνέχουσα* QR *οἴνωπ' ἀνέχουσα* L^{pc}KAUY *οἰνῶπ' ἀνέχουσα* T *οἰνῶπα νέμουσα* Dindorf || **675** *ἄφατον* Zo^{ac} | *θεᾶν* repudiat Jebb || **676** *ἀνάλιον* T *ἀνήλιον* T s. l., rell., probat Björck || **677** *ἀνάνεμον* Elmsley || **678** *βακχιώτας* K *βακχειώτας* fere rell. || **679** *Διόνυσσος* AT || **680** *θεαῖς* (monosyll.) Elmsley *θείαις* codd. *θυίαις* nescioquis: repudiat Schneidewin | *ἀμφιπολῶν* T *-πόνων* L^{ac} *-πωλῶν* L^{pc} *-πόδων* Zo^{ac} *ἀμφὶ πόλων* U *ἀμφιπόλων* Zo^{pc} rell. || **682** *αἰεὶ* T *ἀεὶ* rell. || **683** *μεγάλοιν θεοῖν* Nauck *-ων -ῶν* Plut. Mor. 647 B et Clem. Alex. Paed. 2, 72, 3

685 *χρυσαυγὴς κρόκος· οὐδ' ἄυ-*
πνοι κρῆναι μινύθουσιν
Κηφισοῦ νομάδες ῥεέ-
θρων, ἀλλ' αἰὲν ἐπ' ἤματι
ὠκυτόκος πεδίων ἐπινίσεται
690 *ἀκηράτωι ξὺν ὄμβρωι*
στερνούχου χθονός· οὐδὲ Μου-
σᾶν χοροί νιν ἀπεστύγησαν, οὐδ' αὖ
χρυσάνιος Ἀφροδίτα.

ἔστιν δ' οἷον ἐγὼ γᾶς — *στρ. β*
695 *Ἀσίας οὐκ ἐπακούω,*
οὐδ' ἐν τᾶι μεγάλαι Δωρίδι νάσωι
Πέλοπος πώποτε βλαστόν,
φύτευμ' ἀχείρωτον αὐτοποιόν,
ἐγχέων φόβημα δαΐων,
700 *ὃ τᾶιδε θάλλει μέγιστα χώραι,*
γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας·
τὸ μέν τις οὐ νεαρὸς οὐδὲ γήραι
συνναίων ἁλιώσει χερὶ πέρσας·
ὁ δ' αἰὲν ὁρῶν κύκλος

687 *Κηφισσοῦ* **QRZnZoT** || **689** *ἐπινίσεται* **LKQR** *-νίσσεται* **ZnZoT** *-νείσεται* **AUY** || **690** *σὺν* **L** || **691** *στέρνου* **QRZnZo** || **692** *οὐδ' αὖ* **L** *οὐδ' ἁ* **KQRZnZo** *οὐδὲ* **AUY** *οὐδ' αὖ ἁ* **T** || **694** *δ'* **T** *δὲ* rell. || **698** *ἀχήρητον* L^{ac} *ἀχείρητον* L^{pc} | *αὐτόποιον* codd. (*-πλοιον* **K**): corr. Blaydes || **699** *ἐγχέων* L^{c}**KT** *ἐκχέον* **Zo** *ἐκχέων* rell. || **700** *μέγιστα* **QT** *μεγίστωι* **K** *μεγίστα(ι)* rell. || **702** *τὸ*] *τὴν* **T** | *οὐ* Porson *οὐδὲν* **ZnZo** *οὔτε* rell. | *νεαρὸς*] *εὐαρὸς* **ZnZo** *νέος* T, coni. Elmsley | *οὐδὲ* Jebb *οὔτε* codd. || **703** *συνναίων* Blaydes *σημαίνων* codd. | *χειρὶ* codd.: corr. Lievens || **704** *δ'* (cum *ἐσαιὲν*) Ritschl *γὰρ* codd. | *αἰὲν ὁρῶν* Hermann *εἰσορῶν* **AUY** *εἰς αἰὲν ὁρῶν* **LKQR** *εἰσαιὲν ὁρῶν* **Zn ZoT**

705 λεύσσει νιν Μορίου Διὸς
χὰ γλαυκῶπις Ἀθάνα.

ἄλλον δ' αἶνον ἔχω μα- ἀντ. β
τροπόλει τᾶιδε, κράτιστον
δῶρον τοῦ μεγάλου δαίμονος, εἰπεῖν,
710 ⟨⏑⏑⟩ αὔχημα μέγιστον,
εὔιππον, εὔπωλον, εὐθάλασσον.
ὦ παῖ Κρόνου, σὺ γάρ νιν εἰς
τόδ' εἷσας αὔχημ', ἄναξ Ποσειδάν,
ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
715 πρώταισι ταῖσδε κτίσας ἀγυιαῖς·
ἁ δ' εὐήρετμος ἔκπαγλ' ἀλὶ χέρσον
παραπτομένα πλάτα
θρώισκει τᾶν ἑκατομπόδων
Νηρήιδων ἀκόλουθος.

720 *AN.* ὦ πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,
νῦν σ' αὖ τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη.
OI. τί δ' ἔστιν, ὦ παῖ, καινόν;
AN. ἆσσον ἔρχεται
Κρέων ὅδ' ἡμῖν οὐκ ἄνευ πομπῶν, πάτερ.

705 *λεύσσει* AUYT *λεύσει* rell. ‖ **708** *τᾶιδε κράτιστον*, Elmsley et vulgo edd. ‖ **710** ⟨*χθονὸς*⟩ suppl. Porson ⟨*ἐμὸν*⟩ Gleditsch ‖ **713** *εἴσας* L *εἶσας* AUY, et fort. L^{ac} *εἴσας* rell. | *Ποσειδάν* LAUY, T s. l. *-ῶν* rell. ‖ **714** *ἵπποισιν* T *-σι* rell. ‖ **715** *ταῖσδε κτίσας* Canter *ταῖσδ' ἐκτίσας* T *ταῖσδ' ἔκτισας* rell. ‖ **716** *σὰ δ'* Musgrave | *ἀλὶ* Page *ἀλία* codd. | *χέρσον* Dawe *χερσὶ* codd. *-ὶν* edd. ‖ **717** *παραπτώμενα*, ubi *ω* ex corr., K *ταραπτομένα* Q^{pc} *παραπεπταμένα* T: participium aoristi satis defendit K. Sier ad Aesch. Cho. 396 ‖ **718** *τᾶν* Platt *τῶν* codd. ‖ **721** *σ' αὖ* Dawe *σοὶ* vel *σοι* codd. *σὸν* Nauck | *δὴ* L | *κραίνειν* Nauck

ΟΙ. ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
725 φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
ΧΟ. θάρσει, παρέσται. καὶ γὰρ εἰ γέρων κυρῶ,
τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.

ΚΡΕΩΝ

ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες,
ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
730 φόβον νεώρη τῆς ἐμῆς ἐπεισόδου·
ὃν μήτ' ὀκνεῖτε μήτ' ἀφῆτ' ἔπος κακόν.
ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθείς, ἐπεὶ
γέρων μέν εἰμι, πρὸς πόλιν δ' ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
735 ἀλλ' ἄνδρα τόνδε τηλικόσδ' ἀπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον,
οὐκ ἐξ ἑνὸς στείλαντος, ἀλλ' ἀστῶν ὑπὸ
πάντων κελευσθείς, οὕνεχ' ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήματ' εἰς πλεῖστον πόλεως.
740 ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπους, κλύων ἐμοῦ
ἱκοῦ πρὸς οἴκους· πᾶς σε Καδμείων λεὼς
καλεῖ δικαίως, ἐκ δὲ τῶν μάλιστ' ἐγώ,
ὅσῳπερ, εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν

726 *κυρῶ*] *ἐγὼ* **LQR** (*κυρῶ* **L**[s] s. l. et *κυρῶ δηλονότι* Σ) *ἐγὼ κυρῶ* **K** ‖ **727** *χειρὸς* Naber | *γεγήρακεν* **L** ‖ **728** *ἐγγενεῖς* Brunck ‖ **729** *ὁρῶν* **QR** | *εἰληφότα* Blaydes ‖ **735** *τηλικόσδ'* Brunck *τηλίκονδ'* **LK** *τηλίκον* **QZnT** *τηλίκων* **R** *τηλικόνδ'* rell. | *ἐπεστάλην* **A** ‖ **736** *Καδμεῖον* **KAZo** ‖ **737** *ἀστῶν* **QRZn ZoT** *ἀνδρῶν* **LKAU** *ἀνδρὸς* **Y** ‖ **738** *κελευθεὶς* **Q** ‖ **739** *εἰς* **LK QR** *ἢ* rell. | versum del. Dobree ‖ **741** *ἥκου* **L** in lin., **K** *ἵκου* **L**[s] s. l., rell.: corr. Elmsley | *Καδμεῖος* **ZnZoT**, verum s. l. **ZnT** ‖ **742** *μάλιστ'*] *πάντων* **ZnZoT**

κάκιστος, ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον,
745 ὁρῶν σε τὸν δύστηνον ὄντα μὲν ξένον,
ἀεὶ δ' ἀλήτην κἀπὶ προσπόλου μιᾶς
βιοστερῆ χωροῦντα, τὴν ἐγὼ τάλας
οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν
ἔδοξ', ὅσον πέπτωκεν ἥδε δύσμορος,
750 ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
πτωχῶι διαίτηι, τηλικοῦτος, οὐ γάμων
ἔμπειρος, ἀλλὰ τοὐπιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος, ὦ τάλας ἐγώ,
ὠνείδισ' εἰς σὲ κἀμὲ καί τὸ πᾶν γένος;
755 ἀλλ', οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν, σύ νυν
πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ
†κρύψον† θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
εἰπών· ἐπαξία γάρ· ἡ δ' οἴκοι πλέον
760 δίκηι σέβοιτ' ἄν, οὖσα σὴ πάλαι τροφός.
ΟΙ. ὦ πάντα τολμῶν κἀπὸ παντὸς ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾶι, κἀμὲ δεύτερον θέλεις
ἑλεῖν ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
765 πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν,

744 *κάκιστος*] *μάλιστ'* **ZnZo** *μάλιστα δ'* **T** | *ἐπαλγῶ* **Zo** *ἀλγῶ* om. L^{ac}, add. L^{s} || **748** *εἰς* **QR** | *αἰκείας* Par. gr. 2886, voluit Elmsley || **749** *ἥδ' ἡ* **ZnZoT** *ἤδη* **K** || **751** *πτωχῶι* **L** in lin. *πτωχῇ(ι)* rell. || **752** *ἔγκληρος* Nauck || **757** *κύψον* **ZnZoT** *στέρξον* Metzger || **759** *οἴκοι*] *ἐκεῖ* Wecklein || **760** *σου* **QR** || **761** *ἀμφέρων* L^{ac} *ἂν πλέκων* Naber || **763** *πείραι* voluisse Didymum docet **Σ** || **767** *χέρα* **QR**

ἀλλ' ἡνίκ' ἤδη μεστὸς ᾖ θυμούμενος,
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
770 *τότ' ἐξεώθεις κἀξέβαλλες, οὐδέ σοι*
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον·
νῦν τ' αὖθις, ἡνίκ' εἰσορᾶις πόλιν τέ μοι
ξυνοῦσαν εὔνουν τήνδε καὶ γένος τὸ πᾶν,
πειρᾶι μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
775 *καίτοι τίς αὕτη τέρψις, ἄκοντας φιλεῖν;*
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
μηδὲν διδοίη, μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν χρήιζοις, τότε
δωροῖθ' ὅτ' οὐκέθ' ἡ χάρις χάριν φέροι·
780 *ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;*
τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοί,
λόγωι μὲν ἐσθλά, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' ἐς δόμους ἄγηις,
785 *ἀλλ' ὡς πάραυλον οἰκίσηις, πόλις δέ σοι*
κακῶν ἄνατος τῆσδ' ἀπαλλαχθῆι χθονός.
οὐκ ἔστι σοι ταῦτ', ἀλλά σοι τάδ' ἔστ', ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί·

768 *ᾖ* Elmsley *ἦν* codd. ‖ **769** post hunc versum v. 438 iterant codd.: corr. Valckenaer ‖ **771** *ξυγγενὲς* **ZnZoT** ‖ **773** *καὶ τὸ πᾶν γένος* **R** *καὶ πᾶν γένος* **Q** ‖ **775** *τίς αὕτη* **KZnZoT** *τοσαύτη* **LQRAUY** ‖ **778** *χρήιζοις* **K** *-εις* rell. ‖ **779** *δωροῖνθ'* L[pc] | *οὐκέθ'* Herwerden *οὐδὲν* codd. | *φέρει* **KAUY**, in lin. **LR** ‖ **780** versum eiecit Nauck | *ἆρ' οὐ* Hartung | *τῆσδ' ἂν*] *τῆσδ'* **LK** *τῆσδέ γ'* **ZnZoT** ‖ **783** *καὶ τοῖς* **LKQR** *χἄτερ'* Blaydes | *κακόν*] *τίς εἶ* Hense ‖ **784** *ἔμ'*] *σύ μ'* Verrall | *εἰς* **AU** *εἰ* **Y** ‖ **786** *ἄνατος* **AUY** *ἄναψος* **K** *ἄνακτος* **R** *ἄνετος* **Zo** *ἄναιτος* **LQZnT**, *γρ.* **AUY**, Suda 1, 199, 9 | *τῆσδ'* Scaliger *τῶνδ'* codd.

ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
790 *χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.*
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τἀν Θήβαις φρονῶ;
πολλῶι γ', ὅσωιπερ κἀκ σαφεστέρων κλύω,
Φοίβου τε καὐτοῦ Ζηνός, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα,
795 *πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῶι λέγειν*
κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
ἀλλ', οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι,
ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'· οὐ γὰρ ἂν κακῶς
οὐδ' ὧδ' ἔχοντες ζῶιμεν, εἰ τερποίμεθα.
800 *ΚΡ.* *πότερα νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σὰ*
ἢ σ' εἰς τὰ σαυτοῦ μᾶλλον ἐν τῶι νῦν λόγωι;
ΟΙ. *ἐμοὶ μέν ἐσθ' ἥδιστον εἰ σὺ μήτ' ἐμὲ*
πείθειν οἷός τ' εἶ μήτε τούσδε τοὺς πέλας.
ΚΡ. *ὦ δύσμορ', οὐδὲ τῶι χρόνωι φύσας φανῆι*
805 *φρένας ποτ', ἀλλὰ λῦμα τῶι γήραι τρέφηι;*
ΟΙ. *γλώσσηι σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ*
δίκαιον ὅστις ἐξ ἅπαντος εὖ λέγει.
ΚΡ. *χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὸ καίρια.*
ΟΙ. *ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῶι λέγεις.*
810 *ΚΡ.* *οὐ δῆθ' ὅτωι γε νοῦς ἴσος καὶ σοὶ πάρα.*

789 *ἔσται* Scaliger || **790** *τοσοῦτό γ'* Valckenaer | *ἐνθάπτειν* Meineke || **792** *ὅσονπερ* **K** | *κἀκ* Doederlein *καὶ* **QRAUY** *ἐκ* **LKZnZoT** || **795** *ἔχων* **KQ**[ac]**UY** | *ἔσχον* **Zo** || **797** *ἴσθι γάρ με* Meineke *οἶσθα γάρ με* anon. apud Musgrave | *πείθοντ'* Par. gr. 2886 s.l., coni. Matthiae *πείσοντ'* Saeger *πείσων* Nauck || **799** *ζῶμεν* codd.: corr. Tournebou | *ἢ* s.l. **L**[s]**T** || **801** *χρόνωι* **Q** || **808** *τὸ καίρια* Suda 4, 818, 17 *τὰ καίρια* codd.: *τὸ ἀναγκαῖα λέγειν* **ΣL** || **810** *ὅτωι*] *ὅ** τῶι* **L** in lin. *σω* scr. **L**[s] s.l. | *ἴσος*] *οἷος* **L**[s] s.l.

ΟΙ. ἄπελθ', ἐρῶ γὰρ καὶ πρὸ τῶνδε, μηδέ με
φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
ΚΡ. μαρτύρομαι τούσδ', οὐ σέ, πρός γε τοὺς φίλους
οἷ' ἀνταμείβηι ῥήματ'· ἢν δ' ἕλω ποτέ...
815 ΟΙ. τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίαι;
ΚΡ. ἦ μὴν σὺ κἄνευ τοῦδε λυπηθεὶς ἔσηι.
ΟΙ. ποίωι σὺν ἔργωι τοῦτ' ἀπειλήσας ἔχεις;
ΚΡ. παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ
ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.
820 ΟΙ. οἴμοι.
ΚΡ. τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.
ΟΙ. τὴν παῖδ' ἔχεις μου;
ΚΡ. τήνδε τ' οὐ μακροῦ χρόνου.
ΟΙ. ἰὼ ξένοι, τί δράσετ'; ἦ προδώσετε,
κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
ΧΟ. χώρει, ξέν', ἔξω θᾶσσον· οὔτε γὰρ τὰ νῦν
825 δίκαια πράσσεις, οὔθ' ἃ πρόσθεν εἴργασαι.
ΚΡ. ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν –
ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
ΑΝ. οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
θεῶν ἄρηξιν ἢ βροτῶν;
ΧΟ. τί δρᾶις, ξένε;
830 ΚΡ. οὐχ ἅψομαι τοῦδ' ἀνδρός, ἀλλὰ τῆς ἐμῆς.

813 *γε* **ZnZoT** *τε* **QR** *δὲ* **LKAUY**, Suda 3, 332, 10 || **814** *δ'* Musgrave *σ'* codd. || **815** *τί δ'* **QRA** || **816** *τοῦδε* Musgrave *τῶν* L^{ac} *τῶνδε* L^{spc} rell. || **818** *σου* **QR**, coni. Blaydes *σε* L in lin. || **820** *οἴμοι* Brunck *ὤιμοι* **LKAY** *ὤμοι* rell. || **821** *μου*] *καί*, Creonti continuans, Blaydes | *τ'* Bothe *γ'* codd. || **824** *χώρει*] *χώρει νῦν* **QR** | *τανῦν* **Zn** || **825** *δίκαι' ἃ* Meineke | *οὔθ' ἃ*] *οὔτε* Koen | *εἰργάσω* Reisig: cf. 854 || **827** *πορεύσεται* **AUY** *πορεύεται* rell. || **830** *τῆς γ' ἐμῆς* Dawe *τῆς κόρης* Tournier

ΟΙ. ὦ γῆς ἄνακτες...
ΧΟ. ὦ ξέν', οὐ δίκαια δρᾷς.
ΚΡ. δίκαια.
ΧΟ. πῶς δίκαια;
ΚΡ. τοὺς ἐμοὺς ἄγω.

ΟΙ. ἰὼ πόλις. στρ.
ΧΟ. τί δρᾷς, ὦ ξέν'; οὐκ ἀφήσεις; τάχ' εἰς
835 βάσανον εἶ χερῶν.
ΚΡ. εἶργου.
ΧΟ. σοῦ μὲν οὔ, τάδε γε μωμένου.
ΚΡ. πόλει μαχῇ γάρ, εἴ τι πημανεῖς ἐμέ.
ΟΙ. οὐκ ἠγόρευον ταῦτ' ἐγώ;
ΧΟ. μέθες χεροῖν
τὴν παῖδα θᾶσσον.
ΚΡ. μὴ 'πίτασσ' ἃ μὴ κρατεῖς.
840 ΧΟ. χαλᾶν λέγω σοι.
ΚΡ. σοὶ δ' ἔγωγ' ὁδοιπορεῖν.
ΧΟ. πρόβαθ' ὧδε, βᾶτε, βᾶτ', ἔντοποι·
πόλις ἐναίρεται, πόλις ἐμά, σθένει·
πρόβαθ' ὧδέ μοι.

ΑΝ. ἀφέλκομαι δύστηνος, ὦ ξένοι, ξένοι.

832 *τὰς ἐμὰς* Blaydes *τούς γ' ἐμοὺς* Dawe ‖ **833** *ἰὼ πόλις* bis **QR** | versum Antigonae trib. codd.: corr. Wunder ‖ **837** *μάχηι* codd.: corr. Porson | *πημαίνεις* codd.: corr. Porson | versum Oedipodi tribuunt codd.: corr. Reisig ‖ **838** sq. *ΧΟ. οὐκ ..... ἐγώ; ΚΡ. μέθες .... θᾶσσον. ΧΟ. μὴ .... κρατεῖς* codd.: corr. Mudge | *ἃ*] *οὗ* Blaydes ‖ **840** *ἐγὼ δ'* **LKQR** ‖ **841** *ὧδε βᾶτε* **T** *ὧδ' ἐμβᾶτε* rell. | *ἐντόπιοι* codd.: corr. Brunck ‖ **843** *πρόβαθ' ὧδέ μοι*] *προβᾶτε μ' ὧδε*, cum *οι* supra *μ'*, **T** ‖ **844** *ἀφέλκομαι* **T** *ἀφελκόμεθ' ὦ* **K** *ἀφέλκομ' ὦ* (*ὁ* **Zo**) rell. | *ὦ πάτερ πάτερ* **Q**

845 *ΟΙ.* *ποῦ, τέκνον, εἶ μοι;*
ΑΝ. *πρὸς βίαν πορεύομαι.*
ΟΙ. *ὄρεξον, ὦ παῖ, χεῖρας.*
ΑΝ. *ἀλλ' οὐδὲν σθένω.*
ΚΡ. *οὐκ ἄξεθ' ὑμεῖς;*
ΟΙ. *ὢ τάλας ἐγώ, τάλας.*
ΚΡ. *οὔκουν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι*
ὁδοιπορήσηις· ἀλλ' ἐπεὶ νικᾶν θέλεις
850 *πατρίδα τε τὴν σὴν καὶ φίλους, ὑφ' ὧν ἐγὼ*
ταχθεὶς τάδ' ἔρδω, καὶ τύραννος ὢν ὅμως,
νίκα· χρόνωι γάρ, οἶδ' ἐγώ, γνώσηι τάδε
ὁθούνεκ' αὐτὸς αὐτὸν οὔτε νῦν καλὰ
δρᾶις οὔτε πρόσθεν εἰργάσω, βίαι φίλων
855 *ὀργῆι χάριν δούς, ἥ σ' ἀεὶ λυμαίνεται.*
ΧΟ. *ἐπίσχες αὐτοῦ, ξεῖνε.*
ΚΡ. *μὴ ψαύειν λέγω.*
ΧΟ. *οὔτοι σ' ἀφήσω, τῶνδέ γ' ἐστερημένος.*
ΚΡ. *καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα*
θήσεις· ἐφάψομαι γὰρ οὐ τούτοιν μόναιν.
860 *ΧΟ.* *ἀλλ' ἐς τί τρέψηι;*
ΚΡ. *τόνδ' ἀπάξομαι λαβών.*
ΧΟ. *δεινὸν λέγοις ἄν.*
ΚΡ. *τοῦτο νῦν πεπράξεται,*
ἢν μή μ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθηι.

845 *εἶ μοι*] *οἴμοι* **K** || **846** *σθένος* **Zo** || **849** *ὁδοιπορήσηις* **AUY** *-εις* rell. || **850** *τε* **T** om. rell. || **853** *σαυτὸν* **AUYZo** *αὐτὸν* edd. || **854** *βίαι* om. **QR**, post *φίλων* collocat **K** || **857** *τοῖνδε* Wecklein: *ταῖνδε* iam Brunck || **859** *ταύταιν* codd.: corr. Blaydes | *μόνων* **Q** *μόναιν. ὧν* **R** || **861** om. **Zo** | *λέγοις* **LK**, in lin. **AUY** *-εις* s. l. **AUY**, rell. | *ἄν* Hermann *ΚΡ. καὶ* **QR** *ΚΡ. ὡς* **T** om. rell. | *λέγεις σύ* Heimsoeth || **862** choro tribuit Piderit, qui *σ'* pro *μ'* reponit: cf. tamen Aesch. Suppl. 924 sq. | *ἢν*] *εἰ* **QR** | *μ'*] *γ'* Enger (*γῆς* ⟨*σ'*⟩ idem)

ΟΙ. ὦ φθέγμ' ἀναιδές, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;
ΚΡ. αὐδῶ σιωπᾶν.
ΟΙ. μὴ γὰρ αἵδε δαίμονες
865 θεῖέν μ' ἄφωνον τῆσδέ γ' εἴς σ' ἀρᾶς ἔτι·
ὅς μ', ὦ κάκιστε, ψιλὸν ὄμμ' ἀποσπάσας
πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχηι βίαι.
τοιγὰρ σὲ καὐτὸν καὶ γένος τὸ σὸν θεῶν
ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον
870 τοιοῦτον οἷον κἀμὲ γηρᾶναί ποτε.
ΚΡ. ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
ΟΙ. ὁρῶσι κἀμὲ καὶ σέ, καὶ φρονοῦσ' ὅτι
ἔργοις πεπονθὼς ῥήμασίν σ' ἀμύνομαι.
ΚΡ. οὔτοι καθέξω θυμόν, ἀλλ' ἄξω βίαι,
875 κεἰ μοῦνός εἰμι, τόνδε, κεἰ χρόνωι βραδύς.

ΟΙ. ἰὼ τάλας. ἀντ.
ΧΟ. ὅσον λῆμ' ἔχων ἀφίκου, ξέν', εἰ
τάδε δοκεῖς τελεῖν.
ΚΡ. δοκῶ.
ΧΟ. τάνδ' ἄρ' οὐκέτι νέμω πόλιν.
880 ΚΡ. τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾶι μέγαν.

863 fort. ὦ | θρέμμ' Blaydes: sed cf. 981 | ψαύσεις **QR ZnT** ψαύεις **LKAUYZo** || **865** γ' εἴς σ' Schneidewin γῆς codd. τῆς ed. Lond. 1747 || **866** ὅς γ' Blaydes || **866** sq. ἀποσπάσειν ... ἐξεύχηι Jebb, qui et ψιλὸν ὄντ' voluit || **868** καὐτὸν **QR AUY** χαὐτὸν **LK** γ' αὐτὸν **ZnZoT** τ' αὐτὸν Brunck | θεῶν suspectum: exspectares γένος τὸ πᾶν σέθεν vel sim. || **870** γηράναι **QR**: vide app. crit. Ricardi Jebb || **873** ἀμύνομαι] cf. Suda 1, 148, 28 et 1, 149, 16 || **875** κεἰ[2] Page καὶ codd. | χρόνωι βραχύς **Zn ZoT** γηρῶν et βαρύς s. l. **L**[s] γήραι βαρύς Blaydes || **877** λῦμ' **A** δεῖμ' **QZnZo** δῆμ' **R** δήλ' in aut ex δή μ' **K** || **879** ἄρ' **ZnT**, Suda 3, 449, 1 ἂρ **Zo** ἄρα rell. | νεμῶ Reisig ex **Σ** (νομιῶ) || **880** βραδὺς **QR**

ΟΙ. ἀκούεθ' οἷα φθέγγεται;
ΧΟ. τά γ' οὐ τελεῖ
⟨⏑–⏑–⏑⟩
ΚΡ. Ζεύς γ' ἂν εἰδείη, σὺ δ' οὔ.
ΧΟ. ἆρ' οὐχ ὕβρις τάδ';
ΚΡ. ὕβρις, ἀλλ' ἀνεκτέα.
ΧΟ. ἰὼ πᾶς λεώς, ἰὼ γᾶς πρόμοι,
885 μόλετε σὺν τάχει, μόλετ'· ἐπεὶ πέραν
περῶσ' οἵδε δή.

ΘΗ. τίς ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίωι θεῶι
τοῦδ' ἐπιστάτηι Κολωνοῦ; λέξαθ', ὡς εἰδῶ το πᾶν,
890 οὗ χάριν δεῦρ' ἧιξα θᾶσσον ἢ καθ' ἡδονὴν ποδός.
ΟΙ. ὦ φίλτατ', ἔγνων γὰρ τὸ προσφώνημά σου,
πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
ΘΗ. τὰ ποῖα ταῦτα; τίς δ' ὁ πημήνας; λέγε.
ΟΙ. Κρέων ὅδ' ὃν δέδορκας οἴχεται τέκνων
895 ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.
ΘΗ. πῶς εἶπας;
ΟΙ. οἷά περ πέπονθ' ἀκήκοας.
ΘΗ. οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν

882 lacunam notavit **T**: ⟨*ἴστω μέγας Ζεύς*⟩ Enger ⟨*Ζεύς μοι ξυνίστω*⟩ Jebb, praeeunte Campbell (*-ίστωρ*) ⟨*σαφῶς ἐγᾦδα*⟩ Spengel | *γ' ἂν* Enger *ταῦτ' ἂν* codd. (*ταῦτ'* in ras. scr. **L**[c]) ‖ **884** *γᾶς τε* **T** ‖ **885** *πέρα* Elmsley ‖ **886** *περῶσ' οἵδε δή* Elmsley *περῶσι δῆτα* **T** *περῶσι δή* rell. ‖ **887** *ποθ'*] *πόθεν* **LZnZo** ‖ **889** *εἰδῶ* **ZnZoT** *ἴδω* rell. ‖ **890** *πόδα* Housman ‖ **893** *δ'* om. **QR** *σ'* de Jongh ‖ **895** *τὴν μόνην*] *τλήμονα* Wecklein ‖ **896** *περ*, quod om. Flor. Ricc. 34, metro aegre convenit, sed cf. Aesch. Suppl. 399: *καὶ* Jebb ‖ **897** *οὔκουν* **KQ**[ac]**RAUY** *οὐκοῦν* **LQ**[2pc] **ZnZoT**

πρὸς τούσδε βωμοὺς πάντ' ἀναγκάσει λεὼν
ἄνιππον ἱππότην τε θυμάτων ἄπο
900 σπεύδειν ἀπὸ ῥυτῆρος, ἔνθα δίστομοι
μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοί,
ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἐγὼ
ξένωι γένωμαι τῶιδε, χειρωθεὶς βίαι;
ἴθ' ὡς ἄνωγα, σὺν τάχει. τοῦτον δ' ἐγώ,
905 εἰ μὲν δι' ὀργῆς ἧκον ἧς ὅδ' ἄξιος,
ἄτρωτον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός·
νῦν δ' οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων,
τούτοισι κοὐκ ἄλλοισιν ἁρμοσθήσεται.
οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
910 κείνας ἐναργεῖς δεῦρό μοι στήσηις ἄγων·
ἐπεὶ δέδρακας οὔτ' ἐμοῦ καταξίως
οὔθ' ὧν πέφυκας αὐτὸς οὔτε σῆς χθονός,
ὅστις δίκαι' ἀσκοῦσαν εἰσελθὼν πόλιν
κἄνευ νόμου κραίνουσαν οὐδέν, εἶτ' ἀφεὶς
915 τὰ τῆσδε τῆς γῆς κύρι' ὧδ' ἐπεισπεσὼν
ἄγεις θ' ἃ χρήιζεις καὶ παρίστασαι βίαι·
καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ' ἴσον τῶι μηδενί.
καίτοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν·
920 οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν,
οὐδ' ἄν σ' ἐπαινέσειαν, εἰ πυθοίατο

899 om. L^{ac}, add. i. m. L^{1pc} ‖ **902** *δ' ἐγὼ* **ZnZoT** *ἐγὼ* **LQR** *τ' ἐγὼ* **K** *δ' ἐμῶι* **AUY** ‖ **905** *ἧκεν* **ΣL** ‖ **906** *ἀθῶιον* Halbertsma | *οὐ μεθῆκ'* **AUY**, L^{s} i. m. *οὐκ ἀφῆκ'* **KQRZnZoT** *οὐδ' ἀφῆκ'* **L** ‖ **907** *ὥσπερ* codd.: corr. Reiske | *ἐπῆλθ'* **QR** ‖ **909** *ποτ' ἔξει* **AUYZn** *ποθ' ἔξει* LZo^{pc} *ποτ' ἔξει* KZo^{ac} *ποθ' ἔξηι* **T** *ποτ' ἔξεις* **QR** ‖ **911** *οὔτε μου* **LK** *οὔτ' ἐμοὶ* **Zo** | *κατάξια* Elmsley ‖ **914** *κρίνουσαν* Meineke ‖ **917** *φαύλην* F. W. Schmidt ‖ **918** *καί μ'* **AUY**

συλῶντα τἀμὰ καὶ τὰ τῶν θεῶν, βίαι
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ' ἄν, σῆς ἐπεμβαίνων χθονός,
925 οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν, χθονὸς
οὔθ' εἷλκον οὔτ' ἂν ἦγον, ἀλλ' ἠπιστάμην
ξένον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρεών.
σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
930 τὴν αὐτὸς αὑτοῦ, καί σ' ὁ πληθύων χρόνος
γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ' ἄγειν τινά,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
935 εἶναι βίαι τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
τῶι νῶι θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.
ΧΟ. ὁρᾶις ἵν' ἥκεις, ὦ ξέν'; ὡς ἀφ' ὧν μὲν εἶ
φαίνηι δίκαιος, δρῶν δ' ἐφευρίσκηι κακά.
ΚΡ. ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν νέμω,
940 ὦ τέκνον Αἰγέως, οὔτ' ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ' ἐξέπραξα, γιγνώσκων δ' ὅτι
οὐδείς ποτ' αὐτοῖς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ' ἐμοῦ τρέφειν βίαι.
ἤιδη δ' ὁθούνεκ' ἄνδρα καὶ πατροκτόνον

924 *ἐπιβαίνων* **LKUY** *ἐπιβαίνω* **A** ‖ **928** *ξένον* **Zo** *ξεῖνοι* **R** *ξεῖνον* rell. ‖ **930** *αὐτοῦ* **AUY** | *πληθύνων* **ZnZoT** ‖ **936** *τῶι νῶι*] *τὸν νῶον* **K** *νοῶν* Blaydes *νοῶ* iam Hartung *τοῦ νοῦ* Meineke ‖ **938** *δ'* **AUYZnZo** *τ'* **LKQRT** ‖ **939** *ἐγὼ μὲν οὔτ'* **K** | *νέμω* Dawe (*νέμων* iam Schneidewin) *λέγω* **LKQR** *λέγων* rell. ‖ **941** *τόδ'* **QRZnZoT** *τότ'* **K** *τό γ'* **LAUY** | *ἔπραξα* **AZnZoT** | *δ'* om. **QRZo** ‖ **942** *αὐτοῖς* **KQ**, coni. Scaliger *αὐτεῖς* vel *αὐτῖς* **R**, cum *ως* s. l. *αὐτοὺς* rell. *ἀστοῖς* Jacobs ‖ **944** *ἤιδην* **L** s. l. *ἤδειν* **T**

945 *κἄναγνον οὐ δεξοίατ', οὐδ' ὅτωι γάμοι*
ξυνόντες ηὑρέθησαν ἀνόσιοι τέκνων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνήιδη χρόνιον ὄνθ', ὃς οὐκ ἐᾶι
τοιούσδ' ἀλήτας τῆιδ' ὁμοῦ ναίειν πόλει·
950 *ὧι πίστιν ἴσχων τήνδ' ἐχειρούμην ἄγραν.*
καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῶι τ' ἀρὰς ἠρᾶτο καὶ τὠμῶι γένει·
953 *ἀνθ' ὧν πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν.*
956 *πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς· ἐπεὶ*
ἐρημία με, κεἰ δίκαι' ὅμως λέγω,
σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως
καὶ τηλικόσδ' ὢν ἀντιδρᾶν πειράσομαι·
954 *θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο πλὴν*
955 *θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.*
960 *ΟΙ.* *ὦ λῆμ' ἀναιδές, τοῦ καθυβρίζειν δοκεῖς,*
πότερον ἐμοῦ γέροντος ἢ σαυτοῦ τόδε;
ὅστις φόνους μοι καὶ γάμους καὶ συμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων· θεοῖς γὰρ ἦν οὕτω φίλον,
965 *τάχ' ἄν τι μηνίουσιν εἰς γένος πάλαι.*
ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδέν, ἀνθ' ὅτου
τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.

945 *κἄναγνον* **QRAUY** *κἄνανδρον* LKZnZoT | *δεξαίατ'* codd.: corr. Elmsley || **946** *ἀνόσιοι τέκνων*] *ἀνοσιώτατοι* **KQR**, coni. Hense *ἀνόσιοι τοκέων* Musgrave || **948** *ξυνήιδειν* codd.: corr. Brunck | *χρόνιον* olim Bergk *χθόνιον* codd. || **949** *ἀλείτας* Dobree || **954** sq. post 959 traiecit Dawe, eiecit Blaydes || **954** *ἐστι γῆρας* A: *γῆρας* post *ἄλλο* Suda 2, 736, 29 || **956** *οἷά μ'* Blaydes || **960** *ὦ δεῖμ'* **QR**: cf. 877 || **966** *γ'* om. L^{ac} || **968** *τοὺς ἐμούς θ'*] *εἰς θεοὺς* **Zo** *τοὺς θεοὺς* U^{ac} *τούς θ' ἐμοὺς* Dawe

ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
970 χρησμοῖσιν ἱκνεῖθ' ὥστε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοί,
ὃς οὔτε βλάστας πω γενεθλίους πατρός,
οὐ μητρὸς εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦ;
εἰ δ' αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ 'φάνην,
975 εἰς χεῖρας ἦλθον πατρὶ καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων εἰς οὕς τ' ἔδρων,
πῶς ἂν τό γ' ἆκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;
μητρὸς δέ, τλῆμον, οὐκ ἐπαισχύνηι γάμους
οὔσης ὁμαίμου σῆς μ' ἀναγκάζων λέγειν
980 οἵους ἐρῶ τάχ'; οὐ γὰρ οὖν σιγήσομαι
σοῦ γ' εἰς τόδ' ἐξελθόντος, ἀνόσιον στόμα.
ἔτικτε γάρ μ' ἔτικτεν, ὤμοι μοι κακῶν,
οὐκ εἰδότ' οὐκ εἰδυῖα, καὶ τεκοῦσά γε
αὐτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
985 ἀλλ' ἓν γὰρ οὖν ἔξοιδα, σὲ μὲν ἑκόντ' ἐμὲ
κείνην τε ταῦτα δυσστομεῖν· ἐγὼ δέ νιν
ἄκων ἔγημα, φθέγγομαί τ' ἄκων τάδε.
ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἀκούσομαι κακὸς
γάμοισιν οὔθ' οὓς αἰὲν ἐμφορεῖς σύ μοι

970 *ἱκνοῖθ'* **ZnZoT** ‖ **971** *ὀνειδίζοις* **AY** *-εις* rell. ‖ **972** *πω* Par. gr. 2886 *πως* **ZnZo** *πῶς* rell. | *γενεθλίους* $\mathbf{L}^{pc}$**KAUY** *-ίας* $\mathbf{L}^{ac}$ *-ιον* **QR** *-ίου* **ZnZoT** ‖ **973** *ἔσχον* **ZnZoT** *ἴσχον* **QR** | *ἦ* * $\mathbf{L}^{c}$ *ἔα ἦ* $\mathbf{L}^{s}$ i. m. *εἶ* $\mathbf{Q}^{ac}\mathbf{R}^{1pc}$ *εἶν* $\mathbf{Q}^{2pc}$ *ἦν* $\mathbf{R}^{ac}$ rell. ‖ **974** *δύστανος* **Zo** ‖ **975** *ἐς* **Zn** ‖ **977** *πῶς* Elmsley *πῶς γ'* codd. *πῶς δ'* Bake | *τό γ'* * * * * **L** | *ἆκον* $\mathbf{L}^{pc}\mathbf{U}^{c}$ *ἄκων* **K** *ἄκον* $\mathbf{L}^{ac}$ rell. ‖ **978** *τλῆμον* **QRAUYT** *τλήμων* **LKZnZo** ‖ **981** sic interpunxit Maehly ‖ **983** *γε* Diggle *με* codd. ‖ **984** *αὑτῆς* **AUYZo** *αὐτῆς* rell. ‖ **986** *δυσστομεῖν* Vauvilliers *δυστ-* **LQRAUZn** *διστ-* **KYZoT** ‖ **987** *ἄκων τ' ἔγημα* **Zo** ‖ **988** *ἁλώσομαι* Walter et eodem anno Herwerden ‖ **989** *ἐμφορεῖς* **L** s. l., **KQR** *ἐμφερεῖς* **L** in lin., **ZnT** *ἐμφέρεις* **AUYZo** *ἐπιφέρεις* Mehler

990 *φόνους πατρῴους ἐξονειδίζων πικρῶς.*
ἕν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνιστορῶ.
εἴ τίς σε, τὸν δίκαιον, αὐτίκ' ἐνθάδε
κτείνοι παραστάς, πότερα πυνθάνοι' ἂν εἰ
πατήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
995 *δοκῶ μέν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον*
τίνοι' ἄν, οὐδὲ τοὔνδικον περιβλέποις.
τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακά,
θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
1000 *σὺ δ', εἶ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν*
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ' ἔπος,
τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλόν,
καὶ τὰς Ἀθήνας ὡς κατῴκηνται καλῶς·
1005 *κᾆιθ' ὧδ' ἐπαινῶν πολλὰ τοῦδ' ἐκλανθάνηι,*
ὁθούνεκ' εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τῶιδ' ὑπερφέρει·
ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ
αὐτόν τ' ἐχειροῦ τὰς κόρας τ' οἴχηι λαβών.
1010 *ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ*
καλῶν ἱκνοῦμαι κἀξεπισκήπτω λιταῖς
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους θ', ἵν' ἐκμάθηις
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.

990 *ἐξονειδίζεις* **T** || **996** *περιβλέπεις* **ZnZoT**, in lin. **KRU** || **998** *ὡς* Reiske *ὥστ'* Blaydes || **999** *ἐμοί*] *ἔχειν* Nauck || **1003** *ὄμμα* **K** | *καλόν*] *μέλει* Wecklein || **1004** *κατῳκίσθαι* **K** || **1007** *τιμᾶς* L[ac] *-ὰς* L[pc] rell.: corr. Tournebou | *ἡ δὲ* **A** *εἰ δὲ* **YZo** *ἤ* **Q** | *τῶιδ'* Kuhnhardt *τοῦθ'* **K**, in lin. **AUY** *τοῦδ'* s. l. **AUY**, rell. || **1009** *τ' ἐχειροῦ* Par. gr. 2886 *τε χειροῦ* codd. nostri || **1010** *τὰς* om. **LZnZo** *νῦν* **K** || **1011** *καὶ κατασκήπτω* codd.: corr. Wecklein || **1012** *συμμ-* **ZnZoT** | *θ'* Par. gr. 2886 s. l. om. rell.

	ΧΟ.	*ὁ ξεῖνος, ὦναξ, χρηστός· αἱ δὲ συμφοραὶ*
1015		*αὐτοῦ πανώλεις, ἄξιαι δ' ἀμυναθεῖν.*
	ΘΗ.	*ἅλις λόγων· ὡς οἱ μὲν ἐξειργασμένοι*
		σπεύδουσιν, ἡμεῖς δ' οἱ παθόντες ἕσταμεν.
	ΚΡ.	*τί δῆτ' ἀμαυρῶι φωτὶ προστάσσεις ποεῖν;*
	ΘΗ.	*ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δέ μοι*
1020		*χωρεῖν, ἵν', εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις*
		τὰς παῖδας ἡμῖν, αὐτὸς ἐνδείξῃς ἐμοί.
		⟨. . . . .⟩
		εἰ δ' ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν·
		ἄλλοι γὰρ οἱ σπεύσοντες, οὓς οὐ μή ποτε
		χώρας φυγόντες τῆσδ' ἐπεύξωνται θεοῖς.
1025		*ἀλλ' ἐξυφηγοῦ· γνῶθι δ' ὡς ἔχων ἔχῃ.*
		[*καί σ' εἷλε θηρῶνθ' ἡ τύχη· τὰ γὰρ δόλωι*
		τῶι μὴ δικαίωι κτήματ' οὐχὶ σώιζεται.
		κοὐκ ἄλλον ἕξεις εἰς τόδ'· ὡς ἔξοιδά σε
		οὐ ψιλὸν οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν
1030		*ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν,*
		ἀλλ' ἔσθ' ὅτωι σὺ πιστὸς ὢν ἔδρας τάδε·

1015 *ἀμυνάθειν* codd.: corr. Elmsley ‖ **1016** *ἐξειργασμένοι* F. W. Schmidt *ἐξηρπασμένοι* **L**ac**KQAUY** *ἐξηρπασμένην* **L**pc**Zn ZoT** *-μένου* **R** ‖ **1018** *τί ταῦτ'* **Zo** | *ἀφαυρῶι* Tournebou | *ποεῖν* **LK** *ποιεῖν* rell. ‖ **1019** *δέ μοι* Heath *δέ με* codd. *δ' ἐμέ* Hermann ‖ **1021** *ἡμῖν* Elmsley *ἡμῶν* codd. *οἶμον* anon. | *ἐνδείξῃς* Maehly *ἐκδ-* codd. *ἐνδείξῃι* iam Tournebou | *ἐμοί*] *ὅπου* Halbertsma | post hunc versum hiatum indicavit Dawe ‖ **1022** *σφ' ἄγουσιν* Otto | *οὔ με δεῖ* Halbertsma ‖ **1023** *πολλοὶ* seu *ἅλις* Nauck | *σπεύδοντες* codd.: corr. Mekler: futurum iam desideraverat Blaydes ‖ **1024** *ἐπεύξωνται* s. l. **ZnT** *-χωνται* **A**pc**UYZo**, in lin. **ZnT** *-χονται* **LA**ac**KR** *-οντες* **Q** ‖ **1026–1035** eiecit Dawe ‖ **1028** *τάδ'* **L**spc**ZnZoT** ‖ **1031** *τόδε* **AUY**

ἃ δεῖ μ' ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποῆσαι φωτὸς ἀσθενεστέραν.
νοεῖς τι τούτων, ἢ μάτην τὰ νῦν τέ σοι
1035 δοκεῖ λελέχθαι χὤτε ταῦτ' ἐμηχανῶ;]

ΚΡ. οὐδὲν σὺ μεμπτόν, ἐνθάδ' ὤν, ἐρεῖς ἐμοί·
οἴκοι δὲ χἠμεῖς εἰσόμεσθ' ἃ χρὴ ποεῖν.

ΘΗ. χωρῶν ἀπείλει νυν· σὺ δ' ἡμίν, Οἰδίπους,
ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι,
1040 ἢν μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.

ΟΙ. ὄναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.

ΧΟ. εἴην ὅθι δαΐων *στρ. α*
1045 ἀνδρῶν τάχ' ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη
μείξουσιν, ἢ πρὸς Πυθίαις
ἢ λαμπάσιν ἀκταῖς,
1050 οὗ πότνιαι σεμνὰ τιθηνοῦνται τέλη
θνατοῖσιν, ὧν καὶ χρυσέα
κλὴις ἐπὶ γλώσσαι βέβα-
κε προσπόλων Εὐμολπιδᾶν·
ἔνθ' οἶμαι τὸν Ἐγρεμάχαν
1055 Θησέα καὶ τὰς διστόλους

1033 *ποῆσαι* **L** *ποιῆσαι* rell. ‖ **1035** *δοκεῖς* **ZnZoT** ‖ **1036** *ὄντ' ... ἐμέ* Blaydes ‖ **1037** *ποεῖν* **LK** *πονεῖν* **QR** *ποιεῖν* rell. ‖ **1038** *νυν* Elmsley *νῦν* codd. | *ἡμῖν* codd. ‖ **1043** *προθυμίας* Herwerden ‖ **1046** *Ἄρην* **KQRZo** ‖ **1050** *σεμναὶ* codd.: corr. Valckenaer ‖ **1052** *γλώσσαι* **U**[pc]**Y** *γλῶσσα* **KAU**[ac] *γλῶσσᾱ* **L** *γλώσση(ι)* **QRT** *γλῶσσαν* **ZnZo** ‖ **1054** *ὀρειοβάταν* **L**[sγρ] *ὀρειβάταν* **AUY** ‖ **1055** *Θησέα καὶ*] *ῥυσόμενον* Halm | *διαστόλους* **L** s.l., **KZnZo**

ἀδμῆτας ἀδελφὰς
αὐταρκεῖ τάχ' ἐμμείξειν βοᾶι
τούσδ' ἀνὰ χώρους.

ἤ που τὸν ἐφέσπερον — ἀντ. α
1060 πέτρας νιφάδος πελῶσ'
Οἰάτιδος εἰς νομόν,
πώλοισιν ἢ ῥιμφαρμάτοις
φεύγοντες ἁμίλλαις.
1065 ἁλώσεται· δεινὸς ὁ προσχώρων Ἄρης,
δεινὰ δὲ Θησειδᾶν ἀκμά.
πᾶς γὰρ ἀστράπτει χαλι-
νός, πᾶσα δ' ὁρμᾶται †κατ' ⟨–⟩
ἀμπυκτήρια [φάλαρα πώλων]†
1070 ἄμβασις, οἳ τὰν ἱππίαν
τιμῶσιν Ἀθάναν
καὶ τὸν πόντιον γαιάοχον
Ῥέας φίλον υἱόν.

ἔρδουσιν ἢ μέλλουσιν; ὡς — στρ. β
1075 προμνᾶταί τί μοι
γνώμα τάχ' †ἂν δώσειν†

1056 *ἀδελφὰς* L^{ac}**KT** *-εὰς* L^{spc} rell. ‖ **1057** *ἀνταρκεῖ* Meineke: sed fort. sensus est: Mavors efficiet ut Theseus et illae duae sorores libertatem vindicatam mox plena voce celebrent | *ἐμμίξας* **QR** ‖ **1059** *ἤ* **KQR** *ἦ* rell. ‖ **1060** *πελάζουσι* $L^{s\gamma\rho}$ *περῶσ'* Hartung ‖ **1061** *ἐκ νομοῦ* codd.: corr. Hartung ‖ **1063** *φεύγοντας* **T** s. l. ‖ **1065** *ἁλώσεται δεινὸς* codd.: nescio quis primus distinxerit ‖ **1068** *κατὰ* Bothe *καθεῖσ'* Schneidewin *χαλῶσ'* Hermann ‖ **1069** *ἀμπυκτήρια. τὰ φάλαρα. Σοφοκλῆς Οἰδίποδι ἐν Κολωνῶι* Hesychius *ἀμπυκτήρια πωλικὰ* Hermann ‖ **1074** *ἔρδουσιν* **L** *ἔρδουσιν* rell. *ἔρδουσ'* metri gr. Steinhart: cf. 1085 (*ἔρδ-* iam Elmsley) | *ἢ*] *οὐ* Walter ‖ **1076** *ἂν δώσει* **QR** *ἀνδώσειν* lemma **ΣL** *ἐνδώσειν* lemma **ΣR** *ἀντάσειν* Metzger

τᾶν δεινὰ τλασᾶν, δεινὰ δ' εὑ-
ρουσᾶν πρὸς αὐθαίμων πάθη.
τελεῖ, τελεῖ Ζεύς τι κατ' ἦμαρ·
1080 *μάντις εἴμ' ἐσθλῶν ἀγώνων.*
εἴθ' ἀελλαία ταχύρρωστος πελειὰς
αἰθερίας νεφέλας κύρ-
σαιμ' ἄνωθ' ἀγώνων
ἐωρήσασα τοὐμὸν ὄμμα.

1085 *ἰὼ † Ζεῦ πάνταρχε θεῶν* *ἀντ. β*
παντόπτα † πόροις
γᾶς τᾶσδε δαμούχοις
σθένει 'πινικείωι τιν' εὔ-
αγρον τελειῶσαι λόχον,
1090 *σεμνά τε παῖς Παλλὰς Ἀθάνα.*
καὶ τὸν ἀγρευτὰν Ἀπόλλω,
καὶ κασιγνήταν πυκνοστίκτων ὀπαδὸν
ὠκυπόδων ἐλάφων, στέρ-
γω διπλᾶς ἀρωγὰς
1095 *μολεῖν γᾶι τᾶιδε καὶ πολίταις.*

1077 *τὰν ... τλᾶσαν ... εὑροῦσαν* codd.: vera Σ | *δ'*] *θ'* Dawe || **1078** *πρὸς αὐθαίμων* Bothe *προσανθομέναν* **QR** *πρὸς αὐθομαίμων* rell. || **1079** *ἦμαρ* **AZnZoT**, fort. **Y**[ac] *ἆμαρ* rell. || **1083** *ἄνωθ'* Hermann *αὐτῶν* **R** *αὐτῶν δ'* rell. || **1084** *θεωρήσασα* codd.: corr. Wunder | *αἷμα* **Zo** *οἶμα* Meineke || **1085** *ὦ* **T** | *Ζεῦς* **R** *Ζεῦ τε* **T** *πάτερ* Dawe | *παντάρχα* **T** | *ὦ Ζεῦ θεῶν πανταρχέτα* Hermann || **1086** *παντόπτ', ὤ,* voluit Meineke || **1085** sq. *ἰὼ θεῶν πάνταρχε παντόπτα Ζεῦ* Jebb: *ἰὼ θεῶν παντάρχα Ζεῦ, παντόπτα* iam Brunck || **1087** *δαδούχοις* **A** *δαμούρροις* **Q**[ac] || **1088** *ἐπινικείωι σθένει* **L** *ἐπινικίωι σθένει* rell.: corr. Hermann | *τιν'* Blaydes *τὸν* codd. || **1093** *ὠκυπόρων* **ZnZo**

ὦ ξεῖν' ἀλῆτα, τὸν σκοπὸν μὲν οὐκ ἐρεῖς
ὡς ψευδόμαντις· τὰς κόρας γὰρ εἰσορῶ
τάσδ' ἆσσον αὖθις ὧδε προσπελωμένας.
ΟΙ. ποῦ ποῦ; τί φήις; πῶς εἶπας;
ΑΝ. ὦ πάτερ, πάτερ,
1100 τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
ΟΙ. ὦ τέκνον, ἦ πάρεστον;
ΑΝ. αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν φιλτάτων τ' ὀπαόνων.
ΟΙ. προσέλθετ', ὦ παῖ, πατρί, καὶ τὸ μηδαμὰ
1105 ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.
ΑΝ. αἰτεῖς ἃ τεύξηι· σὺν πόθωι γὰρ ἡ χάρις.
ΟΙ. ποῦ δῆτα, ποῦ 'στον;
ΑΝ. αἵδ' ὁμοῦ πελάζομεν.
ΟΙ. ὦ φίλτατ' ἔρνη.
ΑΝ. τῶι τεκόντι πᾶν φίλον.
ΟΙ. ὦ σκῆπτρα φωτός...
ΑΝ. δυσμόρου γε δύσμορα.
1110 ΟΙ. ἔχω τὰ φίλτατ', οὐδ' ἔτ' ἂν πανάθλιος
αἰὼν ἂν εἴη σφῶιν παρεστώσαιν ἐμοί.
ἐρείσατ', ὦ παῖ, πλευρὸν ἀμφιδέξιον

1096 *τῶι σκοπῶι* codd.: corr. Elmsley ‖ **1098** *προσπολουμένας* codd.: corr. Hartung ‖ **1099** *ὦ πάτερ, πάτερ* **QRZnZoT** *ὦ πάτερ, ὦ πάτερ* **LKAUY** ‖ **1100** *τῶνδ'* **LK** ‖ **1102** *πάρεστιν* **QR** ‖ **1104** *πρόσελθ'* **LK** | *μηδαμὰ* **Zn**, v. l. in **Zo** *-ᾶ* vel *-ᾶι* rell. ‖ **1105** om. L^{ac}, add. L^{s} | *δότε*] *τόδε* **KT**, $L^{(s)}$ in ras. ‖ **1107** *ποὔστιν* **QR** ‖ **1109** *γε* Reiske *τε* codd. ‖ **1110** *ἔτ' ἂν* **AUY** *ὅταν* rell. ‖ **1111** *αἰὼν ἂν εἴη* Mekler *θανὼν ἂν εἴην* (*εἴη* Par. gr. 2886) codd. ‖ **1112** *πλευρὰν* **LKQR** | *ἀμφιδέξιον* **QR**, coni. Mudge *ἀμφιδεξιὸν* **LK** *ἀμφὶ δεξιὸν* rell. *ἀμφιδέξιοι* Madvig

ἐμφύντε τῶι φύσαντι, κἀναπνεύσατον
τοῦ πρόσθ' ἐρήμου τοῦδε δυστήνου πλάνου.
1115 καί μοι τὰ πραχθέντ' εἴπαθ' ὡς βράχιστ', ἐπεὶ
ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.
AN. ὅδ' ἔσθ' ὁ σώσας· τοῦδε χρὴ κλύειν, πάτερ.
†καὶ σοί τε τοὖργον τοὐμὸν† ⟨–⟩ ἔσται βραχύ.
OI. ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρές,
1120 τέκν' εἰ φανέντ' ἄελπτα μηκυνῶ λόγον.
ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
τέρψιν παρ' ἄλλου μηδενὸς πεφασμένην·
σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν.
καί σοι θεοὶ πόροιεν ὡς ἐγὼ θέλω,
1125 αὐτῶι τε καὶ γῆι τῆιδ'· ἐπεὶ τό γ' εὐσεβὲς
μόνοις παρ' ὑμῖν ηὗρον ἀνθρώπων ἐγὼ
καὶ τοὐπιεικὲς καὶ τὸ μὴ ψευδοστομεῖν.
εἰδὼς δ' ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε·
ἔχω γὰρ ἅχω διὰ σὲ κοὐκ ἄλλον βροτῶν.

1113 ἐμφύντε Mudge ἐμφῦτε **AUY** ἐμφῦσαι **Q** ἐμφῦσα **KR ZnZoT** ἐμφυσά **L**, cum accentu utriusque generis supra υ | κἀναπνεύσατον Jebb; cf. app. crit. ad Ai. 274 κἀναπαύσατον **Zn ZoT** -ετον rell. || **1114** τὸν πρόσθ' ἔρημον Sehrwald | τοῦδε **LQRT** τοῦ τε s.l. **LT**, rell. | τόνδε δύστηνον Herwerden || **1116** τοῖς τηλικοῖσδε Nauck | μικρὸς **KZo** || **1118** τε] γε **K** om. **QR** | οὗ κἄστι τοὖργον Wex κεἴσει σὺ τοὖργον· Enger | ἔσται νῦν **QR** ἔσται δὴ **T** ὧδ' ἔσται Lievens || **1119** post 1120 scr. L^{ac}, corr. L^{1} | post θαύμαζε, non post λιπαρές, sunt qui interpungant || **1120** τέκν' ἐμφανέντ' **AUY** | μηκύνω codd.: corr. Elmsley || **1121** τὴν Musgrave σὴν codd. | τάδε **KZoY** || **1122** μηδαμῶς **Zo** || **1124** πόρειεν L^{ac} πόρειαν **KQR** | ὡς] οἵ' Hartung || **1125** τό γ'] τοῦτό γ' **L** τόδ' **K** || **1128** ἀμύνων **Y** ἄμυβε Q^{ac} ἄμειβε Q^{pc} -βω $Q^{γρ}$ || **1129** ἄλλον L^{pc}

1130 καί μοι χέρ', ὦναξ, δεξιὰν ὄρεξον, ὡς
ψαύσω, φιλήσω τ', εἰ θέμις, τὸ σὸν κάρα.
καίτοι τί φωνῶ; πῶς σ' ἂν ἄθλιος γεγὼς
θιγεῖν θελήσαιμ' ἀνδρὸς ᾧ τίς οὐκ ἔνι
κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε,
1135 οὐδ' οὖν ἐάσω· τοῖς γὰρ ἐμπείροις βροτῶν
μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
σὺ δ' αὐτόθεν μοι χαῖρε, καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.
ΘΗ. οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον,
1140 τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
οὐδ' εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ' ἔπη·
[βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.]
οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
1145 [δείκνυμι δ'· ὧν γὰρ ὤμοσ' οὐκ ἐψευσάμην
οὐδέν σε, πρέσβυ· τάσδε γὰρ πάρειμ' ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.]
χὤπως μὲν ἁγὼν ᾑρέθη, τί δεῖ μάτην
κομπεῖν, ἅ γ' εἴσῃ καὐτὸς ἐκ τούτοιν ξυνών;
1150 λόγος δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην, ἐπεὶ
σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι·

1130 χέρ' **AUY** χαῖρ' **LKQR** χαῖρε μ' **ZnZoT** (μοι om. **ZnT**) | δεξιὰν **AUY** δεξιάν τ' rell. || **1131** τ' εἰ **KAUY** θ' ἣ **ZnZoT** | τ' ἧ **L** τ' ἥ **Q** π' ἡ **R** || **1132** σ' Hermann δ' codd. || **1137** σύ τ' **L** in lin. | μου] μοι **ZnZoT** || **1140** θαυμάσαι σ' Dawe || **1141** οὔτ' Elmsley | προύβαλες **Zo** || **1142** del. Lazarewicz || **1143** ante hunc versum vv. 1148 sq. traiecit Tournier || **1144** ποεῖσθαι **LK** ποι- rell. || **1145–1147** del. Dawe || **1148** ἁγὼν Heath ἀγὼν αὗτος codd. ἄγων Nauck || **1149** ταύταιν fere codd.: corr. Nauck || **1150** ἐκπέπτωκεν **LZoT**

πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεών.
ΟΙ. τί δ' ἔστι, τέκνον Αἰγέως; δίδασκέ με,
1155 ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν ὧν σὺ πυνθάνηι.
ΘΗ. φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
οὐκ ὄντα, συγγενῆ δέ, προσπεσόντα πως
βωμῶι καθῆσθαι τῶι Ποσειδῶνος, παρ' ὧι
θύων ἔκυρον ἡνίχ' ὡρμώμην ἐγώ.
1160 ΟΙ. ποδαπόν; τί προσχρῄζοντα τῶι θακήματι;
ΘΗ. οὐκ οἶδα πλὴν ἕν· σοῦ γάρ, ὡς λέγουσί μοι,
βραχύν τιν' αἰτεῖ μῦθον, οὐκ ὄγκου πλέων.
ΟΙ. ποῖόν τιν'; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.
ΘΗ. σοὶ φασὶν αὐτὸν ἐς λόγους † ἐλθεῖν μολόντ' †
1165 αἰτεῖν, ἀπελθεῖν ⟨τ'⟩ ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.
ΟΙ. τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν;
ΘΗ. ὅρα κατ' Ἄργος εἴ τις ὑμὶν ἐγγενὴς
ἔσθ', ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.
ΟΙ. ὦ φίλτατε, σχὲς οὗπερ εἶ.
ΘΗ. τί δ' ἔστι σοι;
1170 ΟΙ. μή μου δεηθῇς...
ΘΗ. πράγματος ποίου; λέγε.
ΟΙ. ἔξοιδ' ἀκούων τῶνδ' ὅς ἐσθ' ὁ προστάτης.
ΘΗ. καὶ τίς ποτ' ἐστίν, ὅν γ' ἐγὼ ψέξαιμί τι;
ΟΙ. παῖς οὑμός, ὦναξ, στυγνός, οὗ λόγων ἐγὼ
ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.

1153 *οὐδὲν* L^{ac}**KQRA** | *οὐδέν'* L^{pc} rell. | *ἄνθρωπον* paraphrases in **ΣL** et in Suda 4, 188, 17 *ἀνθρώπω* **QR** *-ων* rell., Suda || **1160** *-οντι* **L** || **1162** *οὐδ'* **QR**, coni. Blaydes || **1164** *ἐλθεῖν μόνον* Vauvilliers || **1165** *τ'* add. Heath || **1169** *φίλτατε, σχὲς* Heath *φίλτατ'* omnes codd. mox *ἐπίσχες* **AUY** *εἶχες* **T** *ἴσχες* rell. | *οἷπερ* L^{c} *ἧιπερ* **ZnZoT** || **1171** *προσστάτης* Schneider: *ὁ προσεστηκὼς τῶι βωμῶι* **ΣL** || **1172** *ὅν τ'* **K** *ὅν ἂν* Vauvilliers

1175 ΘΗ. τί δ'; οὐκ ἀκούειν ἔστι, καὶ μὴ δρᾶν ἃ μὴ
χρῄζεις; τί σοι τοῦδ' ἐστὶ λυπηρὸν κλύειν;
ΟΙ. ἔχθιστον, ὦναξ, φθέγμα τοῦδ' ἥκει πατρί·
καὶ μή μ' ἀνάγκηι προσβάληις τάδ' εἰκαθεῖν.
ΘΗ. ἀλλ' εἰ τὸ θάκημ' ἐξαναγκάζει σκόπει,
1180 μή σοι πρόνοι' ἦι τοῦ θεοῦ φυλακτέα.
ΑΝ. πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
τὸν ἄνδρ' ἔασον τόνδε τῆι θ' αὑτοῦ φρενὶ
χάριν παρασχεῖν τῶι θεῶι θ' ἃ βούλεται,
καί νωιν ὕπεικε τὸν κασίγνητον μολεῖν.
1185 οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης, ἃ μή σοι συμφέροντα λέξεται.
λόγων δ' ἀκοῦσαι τίς βλάβη; τά τοι κακῶς
ηὑρημέν' ἔργα τῶι λόγωι μηνύεται.
ἔφυσας αὐτόν· ὥστε μηδὲ δρῶντά σε
1190 τὰ τῶν κακίστων δυσσεβέστατ', ὦ πάτερ,
θέμις σέ γ' εἶναι κεῖνον ἀντιδρᾶν κακῶς.
ἀλλ' ἔασον· εἰσὶ χἀτέροις γοναὶ κακαὶ
καὶ θυμὸς ὀξύς, ἀλλὰ νουθετούμενοι
φίλων ἐπωιδαῖς ἐξεπάιδονται φύσιν.
1195 σὺ δ' εἰς ἐκεῖνα, μὴ τὰ νῦν, ἀποσκόπει
πατρῶια καὶ μητρῶια πήμαθ' ἅπαθες·

1176 τοῦδ' Elmsley τοῦτ' codd. ‖ **1177** τοῦδ' Lenting τοῦθ' codd. ‖ **1178** εἰκάθειν codd.: corr. Elmsley ‖ **1183** δ' **L** in lin. ‖ **1187** κακῶς Hermann καλὰ **ZnZo** καλῶς rell. ‖ **1188** εἰρημέν' **K** | ἔργω **ZnZo** | ἔργωι κοὐ λόγωι Bake ‖ **1189** μηδὲ Dawes μήτε codd. ‖ **1189–1191** del. Meineke ‖ **1190** δυσσεβέστατ', ὦ Dawes δυσσεβεστάτων codd. ‖ **1191** θέμιν Dawes ‖ **1192** ἀλλ' om. $\mathbf{Q}^{ac}$ | ἔασον ed. Lond. 1722 αὐτὸν in aut ex αὐτὸν **L** αὐτὸν **ZnT** αὐτὸν rell.: σε s.l. exhibent **AUY** ἔα νιν Wunder: cf. codd. ad Ar. Ran. 1243 ‖ **1194** ἐξαπ- **LK** ‖ **1195** μὴ] μοι Kammermeister

κἂν κεῖνα λεύσσῃς, οἶδ' ἐγώ, γνώσῃ πικροῦ
θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται.
ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα,
1200 τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
ἀλλ' ἡμὶν εἶκε· λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρῄζουσιν, οὐδ' αὐτὸν μὲν εὖ
πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.

ΟΙ. τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
1205 λέγοντες· ἔστω δ' οὖν ὅπως ὑμῖν φίλον.
μόνον, ξέν', εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτε.

ΘΗ. ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δίς, χρῄζω κλύειν,
ὦ πρέσβυ· κομπεῖν δ' οὐχὶ βούλομαι· σὺ δ' ὢν
1210 σῶς ἴσθ', ἐάν περ κἀμέ τις σῴζῃ θεῶν.

ΧΟ. ὅστις τοῦ πλέονος μέρους — στρ.
χρῄζει τοῦ μετρίου πάρεκ
ζώειν, σκαιοσύναν φυλάσ-
σων ἐν ἐμοὶ κατάδηλος ἔσται.
1215 ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
ἁμέραι κατέθεντο δὴ
λύπας ἐγγυτέρω, τὰ τέρ-
ποντα δ' οὐκ ἂν ἴδοις ὅπου,
ὅταν τις ἐς πλέον πέσῃ

1197 *λύσῃς* codd.: corr. Pierson | *πικροῦ* Blaydes *κακοῦ* codd. || **1199** *οὐχὶ* **LQR** *οὐ* rell. | *βαιὰ* Musgrave: vide Hesych. s. v. *βίαια* codd. || **1200** *ἀδέρκτως* Bothe || **1201** *γὰρ*] *μὲν* **Zn** || **1209** *δ'*[1] om. L[ac]Zo, add. L[s] | *σὺ δ' ὢν* Dindorf *δέ σε* L[s] s. l. *σὺ δὲ* rell. || **1210** *σῶς* Scaliger *σῶν* codd. || **1212** *πάρεκ* Badham *παρεὶς* codd. *προθεὶς* Jebb *πάρος* Bothe *πέρα* Schneidewin || **1213** *αἰεὶ* post *σκαιοσύναν* add. **T** || **1218 sq.** *ὅπου, ὅταν* L[sγρ] *ὁπότ' ἂν* **LKQR** *ὁπόταν* rell.

1220 τοῦ δέοντος· ὁ δ' ἐπίκουρος ἰσοτέλεστος,
Ἄϊδος ὅτε Μοῖρ' ἀνυμέναιος
ἄλυρος ἄχορος ἀναπέφηνε,
θάνατος ἐς τελευτάν.

μὴ φῦναί τινα πάντα νι- *ἀντ.*
1225 κᾶι λόγον· τὸ δ', ἐπεὶ φανῆι,
βῆναι κεῦθε' ὅθεν περ ἥ-
κει πολὺ δεύτερον ὡς τάχιστα.
ὡς εὖτ' ἂν τὸ νέον παρῆι
1230 κούφας ἀφροσύνας φέρον,
τίς πλαγὰ πολύμοχθος ἔ-
ξω; τίς οὐ καμάτων ἔνι;
φθόνος, στάσεις, ἔρις, μάχαι
1235 καὶ φόνοι· τό τε κατάμεμπτον ἐπιλέλογχε
πύματον ἀκρατὲς ἀπροσόμιλον
γῆρας ἄφιλον, ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ.

ἐν ὧι τλάμων ὅδ', οὐκ ἐγὼ μόνος· *ἐπωιδ.*
1240 πάντοθεν βόρειος ὥς τις ἀκτὰ
κυματοπλὴξ χειμερία κλονεῖται,

1220 *δέοντος* Reiske *θέλοντος* codd.: *ἀντὶ τοῦ μετρίου, τοῦ ἱκανοῦ* Σ | *ὁ δ'* Hermann *οὐδ'* codd. | *ἐπίκουρος* Q[ac]R, coni. Hermann *ἐπίκορος* Q[pc]KT *ἐπὶ κόρος* A *ἐπικόρος* U *ἔπι κόρος* YZnZo *ἔπι κοῦρος* L: *οἶμαι κόρος* L[s] i. m. || **1224** sqq. cf. [Plut.] Consol. Apoll. 115 E || **1224** *τινα πάντα* Dawe: *τιν' ἅπαντα* iam Blaydes *τὸν ἅπαντα* codd. || **1225** *κεῦθε'* Dawe *κἀκεῖθεν* KZnZo *κεῖθεν* rell. || **1230** *φέρων* LK *ἔρον* Mekler || **1231** *τί πλάχθη* QR *τίς πλάγχθη* rell.: corr. Herwerden | *τοῦ πολύμοχθος* Zo || **1234** sq. *φθόνος ... φόνοι* Faehse *φθόνοι ... φθόνος* R *φόνοι ... φόνος* K *φόνοι ... φθόνος* rell. || **1235** *κατάμεμπτον* ZnZo, s. l. AUY *κατάπεμπτον* rell.

ὧς καὶ τόνδε κατ' ἄκρας
δειναὶ κυματοαγεῖς
ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι,
1245 *αἱ μὲν ἀπ' ἀελίου δυσμᾶν,*
αἱ δ' ἀνατέλλοντος,
αἱ δ' ἀνὰ μέσσαν ἀκτῖν',
αἱ δ' ἐννυχιᾶν ἀπὸ Ῥιπᾶν.

ΑΝ. *καὶ μὴν ὅδ' ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος*
⟨. . . . .
ΟΙ. . . . .⟩
1250 *ΑΝ.* *ἀνδρῶν γε μοῦνος, ὦ πάτερ, δι' ὄμματος*
ἀστακτὶ λείβων δάκρυον ὧδ' ὁδοιπορεῖ.
ΟΙ. *τίς οὗτος;*
ΑΝ. *ὅνπερ καὶ πάλαι κατείχομεν*
γνώμηι, πάρεστι δεῦρο Πολυνείκης ὅδε.

ΠΟΛΥΝΕΙΚΗΣ
οἴμοι, τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
1255 *πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ' ὁρῶν*
πατρὸς γέροντος; ὃν ξένης ἐπὶ χθονὸς
σὺν σφῷν ἐφηύρηκ' ἐνθάδ' ἐκβεβλημένον,
ἐσθῆτι σὺν τοιᾶιδε, τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πίνος
1260 *πλευρὰν μαραίνων· κρατὶ δ' ὀμματοστερεῖ*

1242 *ὧς* Brunck *ὡς* codd. || **1244** *ἆται*] *αἵ τε* **LKZnZo** || **1247** *μέσαν* **RZnZoT**, **A** in lin. || **1248** *δ' ἐννυχιᾶν* Lachmann *δ' ἐννυχίαν* **K** *δὲ νυχίαν* **LQRAUY** *δὲ νυχιᾶν* **ZnZoT**: *λέγει δὲ αὐτὰ ἐννύχια* **Σ** | *ὑπὸ* $\mathbf{R}^{ac}$**Zo** || **1249** post hunc versum lacunam indicavit Dawe || **1250** *ὀμμάτων* **QR** || **1256** om. $\mathbf{L}^{ac}$, add. $\mathbf{L}^{1}$ vel $\mathbf{L}^{s}$ i.m. || **1257** *σὺν*] *νῦν* **QR** || **1258** *δυσπινὴς* Nauck || **1259** *πόνος* codd.: corr. Scaliger || **1260** *μιαίνων* Herwerden

κόμη δι' αὔρας ἀκτένιστος ἄισσεται·
ἀδελφὰ δ', ὡς ἔοικε, τούτοισιν φορεῖ
τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἁγὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω·
1265 καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν· τἀμὰ μὴ 'ξ ἄλλων πύθηι.
ἀλλ' ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοί, πάτερ,
παρασταθήτω· τῶν γὰρ ἡμαρτημένων
1270 ἄκη μέν ἐστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι.
τί σιγᾶις;
φώνησον, ὦ πάτερ, τι· μή μ' ἀποστραφῆις.
οὐδ' ἀνταμείβηι μ' οὐδέν, ἀλλ' ἀτιμάσας
πέμψεις ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
1275 ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,
πειράσατ' ἀλλ' ὑμεῖς γε κινῆσαι πατρὸς
τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα,
ὡς μή μ' ἄτιμον, τοῦ θεοῦ γε προστάτην,
οὕτως ἀφῆι με, μηδὲν ἀντειπὼν ἔπος.
1280 *ΑΝ.* λέγ', ὦ ταλαίπωρ', αὐτὸς ὧν χρείαι πάρει.
τὰ πολλὰ γάρ τοι ῥήματ' ἢ τέρψαντά τι
ἢ δυσχεράναντ' ἢ κατοικτίσαντά πως
παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.
ΠΟ. ἀλλ' ἐξερῶ – καλῶς γὰρ ἐξηγῆι σύ μοι –
1285 πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος

1264 *ἄγαν γ'* **ZnT** || **1266** *σαῖς* **ZnZo** | *σαῖς ἀκούειν* Wecklein | *τἄλλα* codd.: corr. Reiske || **1268** *πᾶσι* om. **KZnZo** | *σοῦ* **ZnZo**, **T** in lin. *σὲ* **Q** || **1270** *προσφορὰ* **KUYT** *πρόσφορα* (*πρόφ-* **Q**) rell. | *ἔσσετ'* **QR** || **1273** *ἀνταμείψει* Wecklein (*-βει* **UZo**) || **1275** *σπέρμα γ'* **ZnZo** | *ἐμοὶ* **K** *αἱμαὶ* **Zo** || **1278** *ἄτιμα* **R** | *τὸν* Blaydes | *προσστάτην* Blaydes: cf. 1171 || **1279** *ἀφῆι με* Dindorf *ἀφῇ γε* **QR** *μ' ἀφῆι γε* rell.

ἀρωγόν, ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν
ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ σὺν ἐξόδωι.
καὶ ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βουλήσομαι
1290 *καὶ τοῖνδ' ἀδελφαῖν καὶ πατρὸς κυρεῖν ἐμοί.*
ἃ δ' ἦλθον ἤδη σοι θέλω λέξαι, πάτερ·
γῆς ἐκ πατρώιας ἐξελήλαμαι φυγάς,
τοῖς σοῖς πανάρχοις οὕνεκ' ἐνθακεῖν θρόνοις
γονῆι πεφυκὼς ἠξίουν γεραιτέραι.
1295 *ἀνθ' ὧν μ' Ἐτεοκλῆς, ὢν φύσει νεώτερος,*
γῆς ἐξέωσεν, οὔτε νικήσας λόγωι
οὔτ' εἰς ἔλεγχον χειρὸς οὐδ' ἔργον μολών,
πόλιν δὲ πείσας· ὧν ἐγὼ μάλιστα μὲν
τὴν σὴν Ἐρινὺν αἰτίαν εἶναι λέγω·
⟨. . . . .⟩
1300 *ἔπειτα κἀπὸ μάντεων ταύτηι κλύω.*
[ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικόν,
λαβὼν Ἄδραστον πενθερόν, ξυνωμότας
ἔστησ' ἐμαυτῶι γῆς ὅσοιπερ Ἀπίας
πρῶτοι καλοῦνται καὶ τετίμηνται δορί,
1305 *ὅπως τὸν ἑπτάλογχον ἐς Θήβας στόλον*

1286 *ἔνθεν μ'*] *ἔνθεμ'* **LK** *ἔνθεν* **QR** || **1287** *τῆς* om. **AU YZo** || **1288** *ἀσφαλῆι* **L** *-ῆ* **UZnZoT** | *ξὺν* **QRZnT** || **1290** *ταῖν* **Q**ac *ταῖνδ'* **Q**pc rell.: corr. Nauck || **1291** *ἤδη*] *ὧδε* **ZnZoT** || **1294** *περαιτέρα* **ZnZo** *γεραίτερος* Jacobs || **1297** *οὐδ'* Hermann *οὔτ'* codd. | *ἔργων* **ZnZo**, **T** in lin. || **1299** *Ἐρινῦν* **LK RY**ac *Ἐριννῦν* **AY**pc *Ἐριννὺν* **UZnZoT** *Ἔριν νῦν* **Q** | lacunam indicavit Dawe || **1300** *ταύτην* **T** s.l. | *κλύων* **KAUY** || **1301–1330** damnavit Wecklein || **1301** *ἐς* **LKAUY** *εἰς* **QRZn ZoT** || **1305** *ἑπτάλοχον* **QRAZo** | *ἐς* **LKZnZoT** *εἰς* **QRAUY**

ξὺν τοῖσδ' ἀγείρας ἢ θάνοιμι πανδίκως
ἢ τοὺς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
εἶέν· τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
σοὶ προστροπαίους, ὦ πάτερ, λιτὰς ἔχων
1310 αὐτός τ' ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
οἳ νῦν σὺν ἑπτὰ τάξεσιν σὺν ἑπτά τε
λόγχαις τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν·
οἷος δορυσσοῦς Ἀμφιάρεως, τὰ πρῶτα μὲν
δόρει κρατύνων, πρῶτα δ' οἰωνῶν ὁδοῖς·
1315 ὁ δεύτερος δ' Αἰτωλός, Οἰνέως τόκος,
Τυδεύς· τρίτος δ' Ἐτέοκλος, Ἀργεῖος γεγώς·
τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
Ταλαός· ὁ πέμπτος δ' εὔχεται κατασκαφῆι
Καπανεὺς τὸ Θήβης ἄστυ δηιώσειν πυρί·
1320 ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,
ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης, †χρόνωι
μητρὸς† λοχευθείς, πιστὸς Ἀταλάντης γόνος.
ἐγὼ δὲ σός, κεἰ μὴ σός, ἀλλὰ τοῦ κακοῦ
πότμου φυτευθείς, σός γέ τοι καλούμενος,
1325 ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν·
οἵ σ' ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς, πάτερ,
ἱκετεύομεν ξύμπαντες, ἐξαιτούμενοι
μῆνιν βαρεῖαν εἰκαθεῖν ὁρμωμένωι
τῶιδ' ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν,

1306 sq. *ἢ θάνοιμ' ἢ πανδίκως τοὺς τοιάδ'* Blaydes || **1310** *τ'* Reiske *γ'* codd. || **1311** *τ' ἀσπίσιν* Bergk || **1312** *λόχοις* Campbell || **1313** *δορύσσους* codd.: corr. Reisig || **1314** *δορὶ* codd.: corr. Hermann || **1318** *κατασκαφὲν* Halbertsma || **1319** *πυρί*] *τάχα* **AUY** || **1321** *χρόνωι*] *γόνος* **QR**, v. 1322 omisso: *κόρης*, cum *χρόνωι λοχευθείς* in 1322, ex. gr. Dawe: *κόρης* iam Blaydes || **1323** *δὲ*] *δ' ὁ* Brunck || **1328** *εἰκάθειν* codd.: corr. Elmsley

1330 ὅς μ' ἐξέωσεν κἀπεσύλησεν πάτρας.]
εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,
οἷς ἂν σὺ προσθῆι, τοῖσδ' ἔφασκ' εἶναι κράτος.
πρός νύν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων
αἰτῶ πιθέσθαι καὶ παρεικαθεῖν, ἐπεὶ
1335 πτωχοὶ μὲν ἡμεῖς καὶ ξένοι, ξένος δὲ σύ·
ἄλλους δὲ θωπεύοντες οἰχνοῦμεν σύ τε
κἀγώ, τὸν αὐτὸν δαίμον' ἐξειληχότες.
ὁ δ' ἐν δόμοις τύραννος, ὢ τάλας ἐγώ,
κοινῆι καθ' ἡμῶν ἐγγελῶν ἁβρύνεται·
1340 ὅν, εἰ σὺ τἠμῆι ξυμπαραστήσηι φρενί,
βραχεῖ σὺν ὄγκωι καὶ πόνωι διασκεδῶ·
ὥστ' ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων,
στήσω δ' ἐμαυτόν, κεῖνον ἐκβαλὼν βίαι.
καὶ ταῦτα σοῦ μὲν ξυνθέλοντός ἐστί μοι
1345 κομπεῖν, ἄνευ σοῦ δ' οὐδὲ σωθῆναι σθένω.
ΧΟ. τὸν ἄνδρα, τοῦ πέμψαντος οὕνεκ', Οἰδίπους,
εἰπὼν ὁποῖα ξύμφορ' ἔκπεμψαι πάλιν.
ΟΙ. ἀλλ' εἰ μέν, ἄνδρες τῆσδε δημοῦχοι χθονός,
μὴ 'τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
1350 Θησεὺς δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους,

1330 *ἐξέωσεν* **LKAY** *-σε* rell. || **1332** *κράτει* **T** || **1333** *πρὸς θεῶν* **KQRAUY** *καὶ θεῶν* **LZnZoT** *πρός θ' ἑδῶν* Dawe || **1334** *παρεικάθειν* codd.: corr. Elmsley || **1335** *ξένος*] *πτωχὸς* **ZoT, Zn** in lin. || **1336** *οἰκοῦμεν* codd.: corr. F. W. Schmidt || **1337** *ἐξειληχότες* **K** *-ηφότες* rell. || **1338** cum hoc versu incipit **V** | *ὢ* **QR** *ὦ* rell. || **1339** *ἀγγελῶν* **L**ac**VZo** || **1340** *ξυμπαραστήσηι* **AUY** *-ήσηις* **K** *-ήσεις* rell. | *χερί* Blaydes || **1341** *πόνωι* s. l. **AUY** *χρόνωι* rell. || **1342** *τοῖς* **L** in lin., **VQZnZo** | *ἄγων*] *ἐγώ* **ZnZo** || **1344** *μὲν σοῦ* **ZnZoT** || **1345** *θέλω* **QR** || **1346** *εἵνεκ'* **QRZnZoT** | *Οἰδίπου* codd.: corr. Valckenaer || **1348** *δημοῦχοι* **L**ac**KQR** *δημοῦχος* **L**pc rell. || **1349** *αὐτὸς* Paley

οὔ τἄν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπῄσθετο.
νῦν δ' ἀξιωθεὶς εἶσι κἀκούσας γ' ἐμοῦ
τοιαῦθ' ἃ τὸν τοῦδ' οὔποτ' εὐφρανεῖ βίον·
ὅς γ', ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων,
1355 ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ' ἀπήλασας
κἄθηκας ἄπολιν καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πόνωι
ταὐτῶι βεβηκὼς τυγχάνεις † κακῶν ἐμοί.†
1360 οὐ κλαυστὰ δ' ἐστίν, ἀλλ' ἐμοὶ μὲν οἰστέα
τάδ', ἕωσπερ ἂν ζῶ, σοῦ φονέως μεμνημένος.
σὺ γάρ με μόχθωι τῶιδ' ἔθηκας ἔντροφον,
σύ μ' ἐξέωσας· ἐκ σέθεν δ' ἀλώμενος
ἄλλους ἐπαιτῶ τὸν καθ' ἡμέραν βίον.
1365 εἰ δ' ἐξέφυσα τάσδε μὴ 'μαυτῶι τροφοὺς
τὰς παῖδας, ἦ τἂν οὐκ ἂν ἦ, τὸ σὸν μέρος.
νῦν δ' αἵδε μ' ἐκσώιζουσιν, αἵδ' ἐμαὶ τροφοί,
αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν·
ὑμεῖς δ' ἀπ' ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
1370 τοιγάρ σ' ὁ δαίμων εἰσορᾶι μέν, οὔ τί πω
ὡς αὐτίκ', εἴπερ οἵδε κινοῦνται λόχοι
πρὸς ἄστυ Θήβης. οὐ γὰρ ἔσθ' ὅπως πόλιν
κείνην ἐρείψεις, ἀλλὰ πρόσθεν αἵματι

1351 *οὔτ' ἂν* codd. ‖ **1352** *γ' ἐμοῦ* **AUYT** *γέ μου* **LVQRZo** *δέ μου* **K** *γε μοῦ* **Zn** ‖ **1356** *αὑτοῦ*] *αὐτοῦ* codd. ‖ **1357** *φέρειν* **LVZoT** ‖ **1358** *πότμωι* Bergk ‖ **1359** *ἴσων ἐμοί* Housman *ἴσων κακῶν* Dawe ‖ **1360** *κλαυτὰ* **KT** | *δ'* om. **L**^{ac}**QR**, corr. **L**^{s} ‖ **1361** *ὥσπερ* codd.: corr. Reiske | *φονέος* **LVQR** | *μεμνημένου* **A** *-μένωι* Blaydes ‖ **1366** *ἂν ᾖ* **LKQR** *ἂν* **Zo** *ἂν ἦν* rell. ‖ **1367** *ἐμοὶ* **ZnZoT** ‖ **1370** *εἰσορᾶι*] *νῦν ὁρᾶ* **ZnZoT** | *που* **V**, **L** in lin. ‖ **1371** *ὅς*, cum *σε δαίμων* in 1370, Dobree ‖ **1373** *ἐρείψεις* Tournebou *ἐρεῖ τις* codd.

πεσῆι μιανθείς, χὠ ξύναιμος ἐξ ἴσου.
1375 [τοιάσδ' ἀρὰς σφῶιν πρόσθε τ' ἐξανῆκ' ἐγὼ
νῦν τ' ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοί,
ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν,
καὶ μὴ 'ξατιμάζητον, εἰ τυφλοῦ πατρὸς
τοιώδ' ἔφυτον· αἵδε γὰρ τάδ' οὐκ ἔδρων.
1380 τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος
Δίκη ξύνεδρος Ζηνὸς ἀρχαίοις νόμοις.
σὺ δ' ἔρρ' ἀπόπτυστός τε κἀπάτωρ ἐμοῦ,
κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀράς,
1385 ἅς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίωι
δόρει κρατῆσαι μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν κτανεῖν θ' ὑφ' οὗπερ ἐξελήλασαι.
τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ τὸ Ταρτάρου
1390 στυγνὸν πατρῶιον ἔρεβος, ὥς σ' ἀποικίσηι,
καλῶ δὲ τάσδε δαίμονας, καλῶ δ' Ἄρη
τὸν σφῶιν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.]
καὶ ταῦτ' ἀκούσας στεῖχε, κἀξάγγελλ' ἰὼν
καὶ πᾶσι Καδμείοισι τοῖς σαυτοῦ θ' ἅμα
1395 πιστοῖσι συμμάχοισιν, οὕνεκ' Οἰδίπους
τοιαῦτ' ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.

1374 *ξυν-* AUYZnZoT *συν-* LVKQR || **1375** om. L[ac], add. i. m. L[1] | *πρόσθε γ'* T *πρόσθ'* KQR *πρόσθεν τ'* Zo || **1375–1392** eiecit Dawe: 1377–1379 iam Wunder, 1380–1388 Otte, 1384–1392 Wecklein || **1379** *τοιάδ'* Y *τοιοῦδ'* Kuhnhardt || **1382** *θρόνοις* Bergk || **1385** *ἐμφυλίου* codd.: corr. Reiske || **1386** *δορὶ* codd.: corr. Reisig || **1389** *τὸ* Hermann *τοὺς* (et *Ταρτάρους*) ZnZoT *τοῦ* rell. || **1390** *σ'* om. VK[ac]Q[ac]R *τ'* L || **1391** *τε* V[pc] | *Ἄρην* VQRZo || **1392** *ἐκβεβληκότα* VQRZnZo || **1394** *τοῖς πᾶσι* Nauck *ἅπασι* Meineke || **1396** *αὑτοῦ* Zo *αὐτοῦ* rell.

ΧΟ. *Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς*
ξυνήδομαί σοι, νῦν τ' ἴθ' ὡς τάχος πάλιν.
ΠΟ. *οἴμοι κελεύθου τῆς τ' ἐμῆς δυσπραξίας,*
1400 *οἴμοι δ' ἑταίρων· οἷον ἆρ' ὁδοῦ τέλος*
Ἄργους ἀφωρμήθημεν, ὢ τάλας ἐγώ,
τοιοῦτον οἷον οὐδὲ φωνῆσαί τινι
ἔξεσθ' ἑταίρων, οὐδ' ἀποστρέψαι πάλιν,
ἀλλ' ὄντ' ἄναυδον τῆιδε συγκῦρσαι τύχηι.
1405 *ὦ τοῦδ' ὅμαιμοι παῖδες, ἀλλ' ὑμεῖς, ἐπεὶ*
τὰ σκληρὰ πατρὸς κλύετε ταῦτ' ἀρωμένου,
μή τοί με πρὸς θεῶν σφώ γ', ἐὰν αἱ τοῦδ' ἀραὶ
πατρὸς τελῶνται, καί τις ὑμὶν ἐς δόμους
νόστος γένηται, μή μ' ἀτιμάσητέ γε,
1410 *ἀλλ' ἐν τάφοισι θέσθε κἀν κτερίσμασιν.*
καὶ σφῶιν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ' ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ' ἄλλον οἴσηι τῆς ἐμῆς ὑπουργίας.
ΑΝ. *Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.*
1415 ΠΟ. *ὦ φιλτάτη, τὸ ποῖον, Ἀντιγόνη; λέγε.*
ΑΝ. *στρέψαι στράτευμ' ἐς Ἄργος ὡς τάχιστά γε,*
καὶ μὴ σέ τ' αὐτὸν καὶ πόλιν διεργάσηι.
ΠΟ. *ἀλλ' οὐχ οἷόν τε. πῶς γὰρ αὖθις ἂν πάλιν*

1398 *σου* Wecklein || **1402** *τινι* ed. Lond. 1747 *τινα* codd. || **1406** *ταῦτ'* Sehrwald *τοῦδ'* codd. || **1407** *σφώ γ' ἐὰν* Elmsley *σφῶιν γ' ἂν* **LVAUY** *σφῶν γ' ἂν* **QRZnZo** *σφῶιν δ' ἂν* **K** *σφῶιν ἄν γ'* **T** || **1410** *κἀν* **AUY** *καὶ* **ZnZoT**, **Q** s. l. *κε* **Q** in lin. *κὲν* **LVR** *καὶ ἐν* **K** *σὺν* Blaydes || **1415** *τὸ* **KAUY** om. **LVT** *μοι* **ZnZo** *σὺ* **QR** || **1416** *στρέψας ... τάχιστ' ἄγε* Badham | *εἰς* **L** || **1417** *μὴ καὶ* Blaydes | *σέ τ' αὐτὸν* Brunck *σεαυτὸν* **R** *σε αὐτὸν* **Q** *σέ γ' αὐτὸν* rell. || **1418** *τε* **ZnZoT** *γε* rell. | *γὰρ*] *δ' ἂν* Elmsley | *ἂν* Vauvilliers *αὖ* codd.

στράτευμ' ἄγοιμι ταὐτόν, εἰσάπαξ τρέσας;
1420 *ΑΝ.* τί δ' αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;
ΠΟ. αἰσχρὸν τὸ φεύγειν καὶ τὸ πρεσβεύοντ' ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.
ΑΝ. ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει
1425 μαντεύμαθ', ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν θροεῖ;
ΠΟ. χρῄζει γάρ· ἡμῖν δ' οὐχὶ συγχωρητέα.
ΑΝ. οἴμοι τάλαινα· τίς δὲ τολμήσει κλύων
τὰ τοῦδ' ἕπεσθαι τἀνδρός, οἷ' ἐθέσπισεν;
ΠΟ. οὐδ' ἀγγελοῦμεν φλαῦρ'· ἐπεὶ στρατηλάτου
1430 χρηστοῦ τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.
ΑΝ. οὕτως ἄρ', ὦ παῖ, ταῦτά σοι δεδογμένα;
ΠΟ. καὶ μή μ' ἐπίσχῃς γ'· ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς
ἔσται μέλουσα, δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦδε πατρὸς τῶν τε τοῦδ' Ἐρινύων·
1435 σφὼ δ' εὐοδοίη Ζεύς, τάδ' εἰ τελεῖτέ μοι.
[θανόντ', ἐπεὶ οὔ μοι ζῶντί γ' αὖθις ἕξετον.]
μέθεσθε δ' ἤδη, χαίρετόν τ'· οὐ γάρ μ' ἔτι
βλέποντ' ἐσόψεσθ' αὖθις.
ΑΝ. ὢ τάλαιν' ἐγώ.
ΠΟ. μή τοί μ' ὀδύρου.
ΑΝ. καὶ τίς ἄν σ' ὁρμώμενον

1419 *ἄγοιμ' ἂν ταὐτὸν* Toup *ἄγοιμ' ἐπακτὸν* Enger || **1424** *ἐκφέρεις* Tyrwhitt *ἐκφέρῃι* intelligit Fritzsche || **1429** *οὐκ* **Zn ZoT** || **1432** *γ'* om. **QRZo** | *μὲν*] * **L** om. **V** *γ'* **ZnZoT** || **1433** *μέλουσα* **LAUYT** *μέλλουσα* rell. || **1434** *Ἐρινύων* **LKR** *Ἐριννύων* rell. || **1435** *σφὼ* Hermann *σφῷιν* codd. | *εὖ διδοίη* Burges || **1435 sq.** *εἰ θανόντι μοι τελεῖτ'* Bothe || **1436** damnat Burges | *ἐπεὶ οὔ μοι* **AUYT** *ἐπ' οὔ μοι* **LVQR** *ἐπεὶ οὔ με* **K** *ἐπεί μοι* **ZnZo** || **1437** *τ'* **AUY** *γ'* **LKVQRT** om. **ZnZo** || **1438** *αὖτις* **LRAUY**

1440 εἰς προὖπτον Ἅιδην οὐ καταστένοι, κάσι;
ΠΟ. εἰ χρή, θανοῦμαι.
ΑΝ. μὴ σύ γ', ἀλλ' ἐμοὶ πιθοῦ.
ΠΟ. μὴ πεῖθ' ἃ μὴ δεῖ.
ΑΝ. δυστάλαινά τἄρ' ἐγώ,
εἰ σοῦ στερηθῶ.
ΠΟ. ταῦτα δ' ἐν τῶι δαίμονι
καὶ τῆιδε φῦναι χἀτέραι. σφὼ δ' οὖν ἐγὼ
1445 θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν·
ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν.

ΧΟ. νέα τάδε νεόθεν ἦλθέ μοι *στρ. α*
βαρύποτμα ⟨⏑⏑⟩ κακὰ παρ' ἀλαοῦ ξένου,
1450 εἴ τι μοῖρα μὴ κιγχάνει.
ματᾶν γὰρ οὐδὲν ἀξίω-
μα δαιμόνων ἔχω φράσαι.
ὁρᾶι, ὁρᾶι πάντ' ἀεὶ
χρόνος, † ἐπεὶ μὲν † ἕτερα,
1455 τὰ δὲ παρ' ἦμαρ αὖθις αὔξων ἄνω.
ἔκτυπεν αἰθήρ, ὦ Ζεῦ.

ΟΙ. ὦ τέκνα, τέκνα, πῶς ἄν, εἴ τις ἔντοπος,
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;
ΑΝ. πάτερ, τί δ' ἐστὶ τἀξίωμ' ἐφ' ὧι καλεῖς;

1444 βῆναι Papageorgiou θεῖναι Dawe | σφῶιν codd.: corr. Elmsley: cf. 1407, 1435 || **1445** κακόν **T** || **1448** νέα ante βαρύποτμα suppl. Hermann: cf. 1463 || **1449** παρά γ' **T** || **1450** κιγχάνει Hermann κιχάνει **KAUY** τυγχάνηι L^{ac} κιχάνη(ι) L^{spc}**VQR ZnZoT** || **1451** ματᾶν Blaydes μάτην codd. || **1453** ὁρῶ ὁρῶ **QR** ὁρᾶι δ' ὁρᾶι Bergk | πάντ' Dindorf ταῦτ' codd. || **1454** ἐπεὶ] στρέφων Hartung ἐπέχων Wecklein πολλὰ μὲν αὔξων παρ' ἦμαρ, πολλὰ δὲ εἰς τὸ ἔμπαλιν τρέπων **Σ** || **1455** τὰ δὲ παρ' ἦμαρ Canter τάδ' ἐπ' ἤματ' **ZnZo** τάδε πήματ' rell. || **1457** ἔνστιμος **QR** (error ex ἔνστιβος)

1460 *ΟΙ.* *Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται*
βροντὴ πρὸς Ἅιδην· ἀλλὰ πέμψαθ' ὡς τάχος.

ΧΟ. *ἴδε μάλα μέγας ἐρείπεται* ἀντ. α
κτύπος ἄφατος ὅδε διόβολος· ἐς δ' ἄκραν
1465 *δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.*
ἔπτηξα θυμόν· οὐράνια
γὰρ ἀστραπὰ φλέγει πάλιν.
τί μὰν ἀφήσει βέλος;
δέδια τόδ'· οὐ γὰρ ἅλιον
1470 *ἀφορμᾶι ποτ', οὐδ' ἄνευ ξυμφορᾶς.*
ὦ μέγας αἰθήρ, ὦ Ζεῦ.

ΟΙ. *ὦ παῖδες, ἥκει τῶιδ' ἐπ' ἀνδρὶ θέσφατος*
βίου τελευτή, κοὐκέτ' ἔστ' ἀποστροφή.
ΑΝ. *πῶς οἶσθα; τῶι δὲ τοῦτο συμβαλὼν ἔχεις;*
1475 *ΟΙ.* *καλῶς κάτοιδ'· ἀλλ' ὡς τάχιστά μοι μολὼν*
ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.

ΧΟ. *ἔα ἔα, ἰδοὺ μάλ' αὖ-* στρ. β
θις· ἀμφίσταται διαπρύσιος ὅτοβος.
1480 *ἵλαος, ὦ δαίμων, ἵλαος, εἴ τι γᾶι*

1460 *αὔξεται* **V** ‖ **1462–1464** *ἴδε … διόβολος*] sunt qui ordinem verborum mutare velint ‖ **1462** *ἐρίπεται* **LVQR** ‖ **1466** *οὐρανία* codd.: corr. Hermann *οὐλία* Herwerden ‖ **1467** *ἀστραπὴ* codd.: corr. Elmsley ‖ **1468** *ἀφῆς* **L**[ac] *ἀφ' ἧς* **L**[pc]**V**, verum **L**[s] s. l. *ἐφήσει* Burges | *τέλος* codd.: corr. Abresch | *τί μάν; ἀφήσει βέλος;* Blaydes ‖ **1469** *δέδεια τόδ'* **LV** *δέδια δ'* **T** *δέδοικα δ'* Nauck ‖ **1470** *ἐφορμᾶι* **L**[s] s. l. | *οὐδ'* Heath *οὐκ* codd. ‖ **1472** *θέσφατον* **R** in lin. ‖ **1473** *ἔσθ' ὑποστροφὴ* **ZnZoT** ‖ **1474** *τῶι δὲ τοῦτο*] *τοῦτο· τῶ δὲ* **ZnZoT** | *τοῦτο* om. **LV** | versum choro tribuunt codd.: corr. Tournebou ‖ **1478** *ἀφίσταται* **QVZo** ‖ **1480** *δαίμων* **LRV** *δαῖμον* rell. | *ἵλαος*[2]] *ἔλθοις* Blaydes | *εἴς τι* **L**[ac]**Q**[ac]**R** *εἰς τῆι* **Q**[pc] *ἐν* **Q**[γρ]

ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
ἐναισίου δὲ σοῦ τύχοι-
μι, μηδ' ἄλαστον ἄνδρ' ἰδὼν
ἀκερδῆ χάριν μετάσχοιμί πως·
1485 *Ζεῦ ἄνα, σοὶ φωνῶ.*

ΟΙ. *ἆρ' ἐγγὺς ἁνήρ; ἆρ' ἔτ' ἐμψύχου, τέκνα,*
κιχήσεταί μου καὶ κατορθοῦντος φρένα;
ΑΝ. *τί δ' ἂν θέλοις τὸ πιστὸν †ἐμφῦναι φρενί†;*
ΟΙ. *ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν*
1490 *δοῦναί σφιν ἥνπερ τυγχάνων ὑπεσχόμην.*

ΧΟ. *ἰὼ ἰώ, παῖ, βᾶθι βᾶθ'* ἀντ. β
†εἴτ' ἄκραν ἐπὶ† γύαλον ἐναλίῳι
Ποσειδανίωι θεῶι τυγχάνεις
1495 *βούθυτον ἑστίαν ἁγίζων, ἱκοῦ.*
ὁ γὰρ ξένος σε καὶ πόλι-
σμα καὶ φίλους ἐπαξιοῖ
δικαίαν χάριν παρασχεῖν παθών.
σπεῦσον, ἄισσ', ὦναξ.

1481 *ἀφθεγγὲς* **LUZnT** ‖ **1482** *ἐν αἰσίωι* **ZoT** *ἐναισίωι* Suda 2, 276, 3 | *σοῦ τύχοιμι* Cobet et Bergk eodem anno *συντύχοιμι* codd. ‖ **1485** *Ζεὺς* **Q** ‖ **1486** *ἁνήρ* Brunck *ἀνήρ* codd. ‖ **1488** choro trib. codd.: corr. Tournebou | *θέλοις τὸ*] *θέλοντος* **QR** | *ἐμφᾶναι* **QR** *ἐμφῆναι* Nauck *εὐθῦναι* Dawe | *χθονί* Dawe *τόδε* vel *πάτερ* Wecklein ‖ **1489** *σελασφόρον* **R** ‖ **1490** *ἠνεσχόμην* **ZnZo** ‖ **1491** *ἰὼ ἰώ* Bothe *ἰού ἰού· ἰὼ* **T** *ἰὼ* rell. ‖ **1492** *εἴτ'*] *ἐπ'* **Zo** | *ἄκρον* **Q**[γρ], coni. Vauvilliers | post *γύαλον* spat. vac. ca. 8 litt. in **L** | *εἴτ' ἄκρον μολὼν γύαλον ἐναλίωι* ex. gr. Pearson ‖ **1494** *Ποσειδανίωι* Seidler *-ῶνι* **L**[s] i. m. *-άωνι* **QR** *-ωνίωι* **Zo** *-αωνίωι* rell. *-ωνίαν* Jebb ‖ **1495** *ἁγιάζων* **LV**, verum **L**[s] s. l. *αἰγίζων* **ZnZoT** ‖ **1496** *πτόλισμα* **Q** ‖ **1498** *παθών* **QR** *ὧν εὖ πάθοι* **K** *παθῶν* rell. ‖ **1499** *σπεῦσον* **T**, om. rell. *θᾶσσον* F. W. Schmidt

1500 *ΘΗ.* *τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος,*
σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου;
μή τις Διὸς κεραυνός, ἤ τις ὀμβρία
χάλαζ' ἐπιρράξασα; πάντα γὰρ θεοῦ
τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.
1505 *ΟΙ.* *ἄναξ, ποθοῦντι προυφάνης, καί σοι θεῶν*
τύχην τις ἐσθλὴν τῆσδ' ἔθηκε τῆς ὁδοῦ.
ΘΗ. *τί δ' ἐστίν, ὦ παῖ Λαΐου, νέορτον αὖ;*
ΟΙ. *ῥοπὴ βίου μοι· καί σ' ἅπερ ξυνῄνεσα*
θέλω πόλιν τε τήνδε μὴ ψεύσας θανεῖν.
1510 *ΘΗ.* *ἐν τῶι δὲ κεῖσαι τοῦ μόρου τεκμηρίωι;*
ΟΙ. *αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι,*
ψεύδοντες οὐδὲν σημάτων προκειμένων.
ΘΗ. *πῶς εἶπας, ὦ γεραιέ, δηλοῦσθαι τάδε;*
ΟΙ. *†αἱ πολλὰ† βρονταὶ διατελεῖς τὰ πολλά τε*
1515 *στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη.*
ΘΗ. *πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ*
κοὐ ψευδόφημα· χὤ τι χρὴ ποεῖν λέγε.
ΟΙ. *ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοι*
γήρως ἄλυπα τῆιδε κείσεται πόλει.

1500 *αὖ* om. **ZnZo** *ἂν* **K** | *ὑμῖν* **Zo** | *καινὸς* F. W. Schmidt | *οἰκεῖται* **R** *ἡγεῖται* **ZnZoT** || **1501** *ἀστῶν* Reiske || **1502** *ὄμβριος* Diggle || **1506** *τῆσδ' ἔθηκε* Heath *θῆκε τῆσδε* codd. || **1510** *καὶ τῶι πέπεισαι* Jebb., praeeuntibus Blaydes (*καὶ τῶι πέποιθας*) et Mekler (*τῶι δ' ἐκπέπεισαι*) | *κεῖται σοῦ μόρου τεκμήριον* van Delden: idem cum *σοι* F. W. Schmidt || **1512** *σῆμα τῶν* Dindorf || **1513** *γηραιέ* **V** || **1514** *αἱ πολλὰ* **AU**^{pc}**YZnZoT** *αἱ πολλαὶ* **LKQRVU**^{ac} *δηλοῦσι* Reiske || **1515** *στράψαντα* Pierson: idem **K**, cum *τ' ἁ* in fine 1514 *στρέψαντα* rell. *σκήψαντα* Forster | *τῆς*] *ἐξ* Blaydes || **1517** *ψευδόθυμα* **ZnZoT** | *χρὴ* **KAUYT** *χρὴν* **V** *χρῆν* **LQRZnZo** | *ποεῖν* **LKV** *ποιεῖν* rell. || **1519** *σῆι τε* **L**^{syp}

1520 *χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,*
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον δὲ φράζε μή ποτ' ἀνθρώπων τινί,
μήθ' οὗ κέκευθε μήτ' ἐν οἷς κεῖται τόποις·
ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
1525 *δορός τ' ἐπακτοῦ γειτονῶν ἀεὶ τιθῆι.*
ἃ δ' ἐξάγιστα μηδὲ κινεῖσθαι λόγωι
αὐτὸς μαθήσηι, κεῖσ' ὅταν μόληις μόνος·
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τωι
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως.
1530 *ἀλλ' αὐτὸς αἰεὶ σῶιζε, χὤταν εἰς τέλος*
τοῦ ζῆν ἀφικνῆι, τῶι προφερτάτωι μόνωι
σήμαιν', ὁ δ' αἰεὶ τὠπιόντι δεικνύτω.
χοὕτως ἀδῆιον τήνδ' ἐνοικήσεις πόλιν
[σπαρτῶν ἀπ' ἀνδρῶν· αἱ δὲ μυρίαι πόλεις,
1535 *κἂν εὖ τις οἰκῆι, ῥαιδίως καθύβρισαν.*
θεοὶ γὰρ εὖ μὲν ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφείς τις εἰς τὸ μαίνεσθαι τραπῆι·
ὃ μὴ σύ, τέκνον Αἰγέως, βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.]
1540 *χῶρον δ', ἐπείγει γάρ με τοὐκ θεοῦ παρόν,*
στείχωμεν ἤδη, μηδ' ἔτ' ἐντρεπώμεθα.

1521 *χρῆν* $\mathrm{L^{ac}}$Q || **1522** *τοῦτον*] *τύμβον* Schneidewin || **1524** *ὅς* ZnZoT || **1525** *γειτόνων* $\mathrm{L^{ac}}$KQRVZoT: et hoc et *γειτονῶν* noverunt $\mathrm{L^{spc}}$AUYZn et ΣL || **1526** *ἃ δ' ἔσθ' ἁγιστά* Blaydes | *κινεῖται* codd.: corr. Peters || **1529** *οὔτ' οὖν* Dawe || **1531** *ἀφικνῆι* AUY *ἀφίκηι* rell. | *νόμωι* K *μόρωι* Zo *γόνωι* Nauck || **1532** *ἀεὶ* KZo || 1534–1538 del. G. H. Schmidt || **1539** del. Dawe || **1534** *ὑπ'* Schaefer | *οἱ δὲ μωρίας πλέωι* Jebb, praeeunte Blaydes || **1540** *πτερόν* Matthiae || **1541** *μηδ' ἔτ'* Reisig *μηδέν γ'* A *μηδέ γ'* rell. | *ἐκτρεπώμεθα* Campbell

ὦ παῖδες, ὧδ' ἕπεσθ'· ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινός, ὥσπερ σφὼ πατρί.
χωρεῖτε, καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτέ με
1545 αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῶιδε τῆιδε κρυφθῆναι χθονί.
τῆιδ', ὧδε, τῆιδε βᾶτε· τῆιδε γάρ μ' ἄγει
Ἑρμῆς ὁ πομπὸς ἥ τε νερτέρα θεός.
ὦ φῶς ἀφεγγές, πρόσθε πού ποτ' ἦσθ' ἐμόν,
1550 νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας.
ἤδη γὰρ ἕρπω τὴν τελευταίαν, βίον
κρύψων παρ' Ἅιδην· ἀλλά, φίλτατε ξένων,
αὐτός τε χώρα θ' ἥδε πρόσπολοί τε σοὶ
εὐδαίμονες γένοισθε, κἀπ' εὐπραξίαι
1555 μεμνῆισθέ μου θανόντος εὐτυχεῖς ἀεί.

ΧΟ. εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν *στρ.*
καὶ σὲ λιταῖς σεβίζειν,
ἐννυχίων ἄναξ,
Αἰδωνεῦ, Αἰδωνεῦ, λίσσομαι
1560 †μήτ' ἐπίπονα μήτ' ἐπὶ βαρυαχεῖ†
ξένον ἐξανύσαι
μόρωι τὰν παγκευ-
θῆ κάτω νεκρῶν πλάκα

1543 *ὥσπερ*] *ὡς πρὶν* Porson ‖ **1548** *Ἑρμῆς θ'* Elmsley ‖ **1549** *πού ποτ'*] *ποῦ τ'* V *τοῦτ'* QRZnZo | *ὦ φῶς, ... ἐμοί* Nauck ‖ **1551** *τὸν τελευταῖον* codd.: corr. Musgrave ‖ **1555** *μέμνησθέ* codd.: corr. Elmsley ‖ **1560** *λίσσομαι*] *δίδου μοι* novit Σ *αἰδοῦμαι* Erfurdt | *μήτ' ἐπίπονα*] *μήτ ἐπιπόνω* LV *μήποτ'* (hoc etiam A) *ἐπὶ πόνωι* T: desideratur ⏑⏑⏑–: cf. 1572: *μήτ'* priorem del. Seidler *ἐπιπόνως* Kuiper | *ἐπιβαρυχέα* QR *βαρυηχεῖ* Σ ‖ **1562** *ἐκτανύσαι* codd.: corr. Vauvilliers (*κατανύσαι* Σ)

καὶ Στύγιον δόμον.
1565 πολλῶν γὰρ ἂν κἀμάχων
πημάτων ἱκνουμένων
πάλιν σφε δαίμων δίκαιος αὔξοι.

ὦ χθόνιαι θεαί, σῶμά τ' ἀνικάτου — ἀντ.
θηρὸς ὃν ἐν πύλαισι
1570 φασὶ πολυξένοις
εὐνᾶσθαι κνυζεῖσθαί τ' ἐξ ἄντρων τ'
ἀδάματον φύλακα παρ' Ἀίδαι
λόχον αἰὲν ἔχειν·
τόν, ὦ Γᾶς παῖ καὶ
1575 Ταρτάρου, κατεύχομαι
ἐν καθαρῶι μεῖναι
ὁρμωμένωι νερτέρας
τῶι ξένωι νεκρῶν πλάκας·
σέ τοι κικλήσκω τὸν αἰένυπνον.

1564 *νεκρῶν* **T** *νεκύων* rell. || **1565** *πολλὸν* **ZnZo** | *ἂν κἀμάχων* Martin *ἂν καὶ καμάτων* **V** *ἂν καὶ μάταν* rell. *ἀνταλλαγὰν* Buecheler || **1566** *ἱκνούμενον* Jebb || **1567** *σφε* Reiske *σε* codd. | *δικαίως* **K** | *ἀέξοι* **T** || **1569** *πύλαις* **QR** *πύλαισιν* **T** || **1570** *πολυξέστοις* codd.: corr. Musgrave || **1571** *κνυζᾶσθαί τ'* **ZnZo** *κνυζᾶσθ'* cum *ει* s. l. **T** | *ἐξ ἄντρων τ'* vel *ἔκ τ' ἄντρων* Dawe *ἐξ ἄντρων* codd. || **1572** *ἀδάματον* Brunck *ἀδάμαντος* **ZnZo** *ἀδάμαστον* rell. | *φύλακ'*, omisso *παρ'*, **T** | *Ἀίδαν* **KV** *Ἀίδην* **T** s. l. || **1573** *λόχον* Blaydes *ὡς λόγος* **T** *λόγος* rell. | *ἔχειν* Dawe *ἔχει* **T** *ἀνέχοι* **QR** *ἀνέχει* rell. || **1574** *τὸν* Hermann *ὃν* codd. *τόδ'* Hartung | *παῖς* **QRV** || **1575a** *Ταρτάρην* **V** || **1575b** *ἐκ καθαροῦ* Madvig | *μεῖναι* Dawe *βῆναι* codd. *'κστῆναι* Blaydes || **1578** *τὸν*] *τίν'* **L** *τὴν* **K** in lin., et Suda 2, 163, 22 | *αἰένυπνον* L[pc]V, ΣL, Zonaras 66, Suda 2, 163, 22 et Eustath. 1201, 25 *αἰὲν ἔνυπνον* **T** *αἰὲν ἄυπνον* L[ac] rell.

ΑΓΓΕΛΟΣ

ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
1580 *τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα·*
ἃ δ' ἦν τὰ πραχθέντ' οὔθ' ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ.
ΧΟ. *ὄλωλε γὰρ δύστηνος;*
ΑΓ. *ὡς λελογχότα*
κεῖνον τὸν αἰεὶ βίοτον ἐξεπίστασο.
1585 *ΧΟ.* *πῶς; ἆρα θείαι κἀπόνωι τάλας τύχηι;*
ΑΓ. *τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.*
ὡς μὲν γὰρ ἐνθένδ' εἷρπε, καὶ σύ που παρὼν
ἔξοισθ', ὑφ' ἡγητῆρος οὐδενὸς φίλων,
ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος·
1590 *ἐπεὶ δ' ἀφῖκτο τὸν καταρράκτην ὀδὸν*
χαλκοῖς βάθροισι γῆθεν ἐρριζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστων μιᾶι,
κοίλου πέλας κρατῆρος, οὗ τὰ Θησέως
Περίθου τε κεῖται πίστ' ἀεὶ ξυνθήματα·
1595 *ἀφ' οὗ μέσος στὰς τοῦ τε Θορικίου πέτρου*
κοίλης τ' ἀχέρδου κἀπὸ λαΐνου τάφου

1579 *ξυντομώτατον* Elmsley *-τάτων* Wecklein || **1583** *λελοιπότα* codd.: corr. Mudge || **1584** *αἰεὶ* **AUYZnZoT** *ἀεὶ* **LKQ RV** *ἄρτι* Meineke *ἄνδρα* Rost || **1585** *κἀπόνωι* **KAUYT** *καὶ πόνωι* rell. || **1586** *τοῦτ'* **AUY** *ταῦτ'* rell. || **1588** *ὑφ' ἡγ-* **L**^{spc}**KR UYZoT** *ἀφ' ἡγ-* **L**^{ac} *ὑφηγ-* **QVAZn**, Suda 4, 628, 22 | *φίλων*] *θιγών* Walter || **1590** *καταράκτην* **L**^{ac}**QRZnZo**, corr. **L**^{s} *καταφράκτην* Suda 3, 508, 12 | *ὀδὸν* **T**, Suda *ὁδὸν* rell. || **1592** *πολυσχίστωι* codd.: corr. Heath || **1594** *Πειρίθου* **KU**, Suda 3, 502, 19 || **1595** *ἀφ' οὗ μέσος* Brunck *ἐφ' οὗ μέσου* (*μέσον* **Zo**) codd. | *τε* om. **L**^{ac}**ZnZo**, corr. **L**^{1} | *τοῦτ' ὀρκίου* **Q** *τοῦτ' ὀρικίου* **R** *τοῦ τε θοὐρκίου* Büttner || **1596** *κἀπὶ* **K**, coni. Canter | *λαΐου* **Zo** (*κἀπ'*) *ἐλαΐου* Blaydes: quod si verum, *φυτοῦ* pro *τάφου* Dawe | *τάφρου* Suda 1, 438, 17 praeter cod. A | versum del. Harberton

καθέζετ'· εἶτ' ἔλυσε δυσπινεῖς στολάς.
κἄπειτ' ἀύσας παῖδας ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν·
1600 *τὼ δ' εὐχλόου Δήμητρος εἰς ἐπόψιον*
πάγον μολούσα τάσδ' ἐπιστολὰς πατρὶ
ταχεῖ 'πόρευσαν ξὺν χρόνωι, λουτροῖς τέ νιν
ἐσθῆτί τ' ἐξήσκησαν ἧι νομίζεται.
ἐπεὶ δὲ πάνθ' ὅσ' εἶπ' ἔδρων πρὸς ἡδονήν,
1605 *κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,*
κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
ῥίγησαν ὡς ἤκουσαν· ἐς δὲ γούνατα
πατρὸς πεσοῦσαι κλαῖον, οὐδ' ἀνίεσαν
στέρνων ἀραγμοὺς οὐδὲ παμμήκεις γόους.
1610 *ὁ δ' ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρόν,*
πτύξας ἐπ' αὐταῖς χεῖρας εἶπεν· ὦ τέκνα,
οὐκ ἔστ' ἔθ' ὑμῖν τῇιδ' ἐν ἡμέραι πατήρ.
ὄλωλε γὰρ δὴ πάντα τἀμά, κοὐκέτι
τὴν δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν·
1615 *σκληρὰν μέν, οἶδα, παῖδες· ἀλλ' ἓν γὰρ μόνον*
τὰ πάντα λύει ταῦτ' ἔπος μοχθήματα.
τὸ γὰρ φιλοῦν οὐκ ἔστιν ἐξ ὅτου πλέον

1597 *ἔλυσε* **ZnT** *ἔλευσε* **Zo** *ἔδυς* **V** *ἔδυσε* rell. et Suda 2, 153, 6 || **1600** *τὼ δ'* edd. *τώδ'* **QRT** *τώιδ'* **K** *τῶιδ'* L *τῶδ'* **V** *τάδ'* **AUYZo**, et hoc cum *ω* s. l. **Zn** *τὸ δ'* Suda 4, 230, 21 codd. AVM (*τὸν δ'* G *ἢ τὸν δ'* **M** s. l.) | *Δήματρος* **R** | *προσόψιον* **LRV** et Suda *πρόσοψιν* **Q** || **1601** *μολούσα* **U**[c]**YZnT** *-οῦσα* **Q**[ac]**AZo** *-οῦσαι* **LKQ**[pc]**RV** || **1602** *βραχεῖ* Reisig | *πόρευσαν* codd., fort. recte | *σὺν* **QR** || **1604** *πάνθ' ὅσ' εἶπ' ἔδρων πρὸς* Mekler *παντὸς εἶχε δρῶντος* codd. || **1605** *ἀργὸν οὐδὲν* **AUY ZnT** *οὐδὲν ἀργὸν* **LKQRV** *ἔργον οὐδὲν* **Zo** || **1608** *πεσοῦσα* **Zo** || **1614** *τὴν*] *γὰρ* **Q** *μὴ* **R** || **1617** *φιλοῦν* Blaydes *φιλεῖν* codd.

ἢ τοῦδε τἀνδρὸς ἔσχεθ', αἳ τητώμεναι
τὸ λοιπὸν ἤδη τὸν βίον διάξετον.
1620 τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι
λύγδην ἔκλαιον πάντες. ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ' οὐδ' ἔτ' ὠρώρει βοή,
ἦν μὲν σιωπή, φθέγμα δ' ἐξαίφνης τινὸς
θώυξεν αὐτόν, ὥστε πάντας ὀρθίας
1625 στῆσαι φόβωι δείσαντας †ἐξαίφνης† τρίχας.
καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῆι θεός·
ὦ οὗτος, οὗτος, Οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.
ὁ δ' ὡς ἐπήισθετ' ἐκ θεοῦ καλούμενος,
1630 αὐδᾶι μολεῖν οἱ γῆς ἄνακτα Θησέα.
κἀπεὶ προσῆλθεν, εἶπεν· ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ὁρκίαν τέκνοις,
ὑμεῖς τε, παῖδες, τῶιδε· καὶ καταίνεσον
μήποτε προδώσειν τάσδ' ἑκών, τελεῖν δ' ὅσ' ἂν
1635 μέλλῃς φρονῶν εὖ ξυμφέροντ' αὐταῖς ἀεί.
ὁ δ', ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
κατήινεσεν τάδ' ὅρκιος δράσειν ξένωι.
ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς Οἰδίπους
ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων λέγει·

1618 *τοῦδέ γ' ἀνδρὸς* **K** | *τητωμένα* Blaydes || **1619** *τὸ λοιπὸν* **LQRV**, Suda 4, 544, 13 *τὸν λοιπὸν* rell. | *τὸν βίον* Elmsley *βίωτον* **T** *βίοτον* rell. *τοῦ βίου* Suda, et hoc cum *τὸν λοιπὸν* Fröhlich | *διάξετε* Suda *ἐκδιάξετον* Meineke || **1622** *οὐδέ τ'* codd.: corr. Tournebou || **1624** *θώυξεν αὐτὸν*] *θεῶν ἐθώυξ'* Porson || **1625** *φόβωι*] *φόβας* **K** *φόβωι* **L**[c] | *εὐθέως* Dindorf || **1626** *κάλει* **T** *κάλλει* **Zo** | versum del. Hermann || **1632** *ὁρκίαν* Papageorgiou *ἀρχαίαν* codd. *ἀρθμίαν* Wecklein | *τέκνον* **Zn Zo** || **1636** *ὄκνου* Bothe

1640 ὦ παῖδε, τλάσας χρὴ τὸ πημαῖνον φρενὶ
χωρεῖν τόπων ἐκ τῶνδε, μηδ' ἃ μὴ θέμις
λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν.
ἀλλ' ἕρπεθ' ὡς τάχιστα· πλὴν ὁ κύριος
τῆς γῆς παρέστω μανθάνειν τὰ δρώμενα.
1645 τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις
στένοντες ὡμαρτοῦμεν. ὡς δ' ἀπήλθομεν,
χρόνωι βραχεῖ στραφέντες ἐξαπείδομεν
τὸν ἄνδρα τὸν μὲν οὐδαμοῦ παρόντ' ἔτι,
1650 ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ' ἀντέχοντα κρατός, ὡς δεινοῦ τινος
φόβου φανέντος οὐδ' ἀνασχετοῦ βλέπειν.
ἔπειτα μέντοι βαιὸν οὐδὲ σὺν χρόνωι
ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα
1655 καὶ τὸν θεῶν Ὄλυμπον ἐν ταὐτῶι λόγωι.
μόρωι δ' ὁποίωι κεῖνος ὤλετ' οὐδ' ἂν εἷς
θνητῶν φράσειε πλὴν τὸ Θησέως κάρα.
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν οὔτε ποντία
1660 θύελλα κινηθεῖσα τῶι τότ' ἐν χρόνωι,
ἀλλ' ἤ τις ἐκ θεῶν πομπός, ἢ τὸ νερτέρων
εὔνουν διαστὰν γῆς ἀλάμπετον βάθρον.

1640 *τλάσα* Dindorf | *πημαῖνον* (et *φρένα*) F. W. Schmidt *γενναῖον* codd. | *φρενὶ*] *φέρειν* **LVZnZoT** || **1641** *μηδ'* **Zn** s.l. *μή μ'* rell. || **1644** *τῆς γῆς* Zakas *Θησεὺς* codd. | *μανθάνων* codd.: corr. Reiske || **1648** *εἶτ' ἀπείδομεν* Halbertsma || **1649** *οὐδαμῇ* **Zo** || **1651** *χεῖρ' ἀντέχοντα*] *ἔχοντα χεῖρα* **ZnZoT** || **1658** *αὐτῶν* **LVZo** | *πυρφόρου* **QR** | *θεὸς* **L**pc**V** || **1662** *ἀλάμπετον* **L**sγρ**Q** *ἀλύπητον* rell.

ἀνὴρ γὰρ οὐ στενακτὸς οὐδὲ σὺν νόσοις
ἀλγεινὸς ἐξεπέμπετ', ἀλλ' εἴ τις βροτῶν
1665 θαυμαστός. εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
ΧΟ. ποῦ δ' αἵ τε παῖδες χοἱ προπέμψαντες φίλων;
ΑΓ. αἵδ' οὐχ ἑκάς· γόων γὰρ οὐκ ἀσήμονες
φθόγγοι σφε σημαίνουσι δεῦρ' ὁρμωμένας.

1670 ΑΝ. αἰαῖ, φεῦ· ἔστιν, ἔστι νῷν δὴ *στρ. α*
οὐ τὸ μέν, ἄλλο δὲ μή, πατρὸς ἔμφυτον
ἄλαστον αἷμα δυσμόροιν στενάζειν,
ὥτινε τὸν πολὺν
ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
1675 ἐν πυμάτωι δ' ἀλόγιστα παροίσομεν
ἰδόντε καὶ παθούσα.

ΧΟ. τί δ' ἔστιν;
ΑΝ. ἔστιν μὲν εἰκάσαι, φίλοι.
ΧΟ. βέβηκεν;
ΑΝ. ὡς μάλιστ' ἂν ἐν πόθωι λάβοις.
τί γάρ; ὅτωι μήτ' Ἄρης
1680 μήτε πόντος ἀντέκυρσεν,

1663 ἀνὴρ Brunck ἀνὴρ codd. || 1664 ἐξέπνευσεν L^s s. l., T s. l. || 1668 melius fuerat εὐσήμονες nisi sensus esset 'voces e quibus clare distingui licet maerentium clamores'. || 1669 φθόγγοις LAZnZoT -ος V | σφε KAUY om. Zo δὲ rell. || 1670 αἲ αἲ LVRZnZo | ἔστιν] ἐστ' T | ἔστι] ἔστιν LVA || 1673 ὥιτινι codd.: corr. Wex || 1674 εἴχομεν LQVT ἔχομεν rell. || 1675 παροίσομεν valde suspectum || 1676 ἰδεῖν τε Zo non leg. Zn ἰδόντα Y | παθούσα L^pc AY -οῦσα L^ac QRU -οῦσαι ZnZoT παροῦσα V μαθοῦσαι K παθόντε Brunck || 1677 ἔστιν^2 Hermann οὐκ ἔστιν UYT οὐκ ἔστι rell. || 1678 ἐν Canter εἰ codd. | πόθον T in lin. || 1680 πόνος Zo νόσος Σ paraphrasis νοῦσος Reisig

ἄσκοποι δὲ πλάκες ἔμαρψαν
ἐν ἀφανεῖ τινι μόρωι φερόμενον·
τάλαινα, νῶιν δ' ὀλεθρία
νὺξ ἐπ' ὄμμασιν βέβακε·
1685 πῶς γὰρ ἤ τιν' ἀπίαν
γᾶν ἢ πόντιον
κλύδων' ἀλώμεναι βίου
δύσοιστον ἕξομεν τροφάν;

ΙΣ. οὐ κάτοιδα. κατά με φόνιος
Ἀΐδας ἕλοι πατρὶ
1690 ξυνθανεῖν γεραιῶι
τάλαιναν, ὡς ἔμοιγ' ὁ μέλ-
λων βίος οὐ βιωτός.

ΧΟ. ὦ διδύμα τέκνων ἀρί-
στα, †τὸ φέρον ἐκ θεοῦ καλῶς φέρειν χρή,
1695 μηδ' ἄγαν οὕτω† φλέγεσθον· οὔ-
τοι κατάμεμπτ' ἔβη σφῶιν.

ΑΝ. πόθος ⟨δ' αὖ⟩ καὶ κακῶν ἄρ' ἦν τις. ἀντ. α
καὶ γὰρ ὃ μηδαμὰ δὴ φίλον ἦν φίλον,

1682 *φερόμενον* Kuhnhardt *φερόμεναι* T, coni. Hermann *φαινόμενοι* QR *φαινόμενα* Zo *φαινόμεναι* rell. || **1683** *ὀλεθρίαν* LKV *-ιαι* A *ὀλεθρίαιν* Hartung || **1684** *ὄμμασιν* T *-σι* rell. | *βέβακε* Reisig *βέβηκεν* LVZoT *βέβηκε* rell. || **1688–1692** Ismenae trib. Tournebou, Antigonae codd. || **1693** *διδύμα ... ἀρίστα* T *δίδυμα ... ἄριστα* rell. || **1694** *φέρειν χρή*] *χρὴ φέρειν* T del. Hermann || **1695** *μηδ'*] *μηδ' ἔτ'* Bellermann *μηδὲν* Dindorf | *οὕτω* del. Burton || **1696** *κατάπεμπτ'* L in lin., V *κατάπεμπ'* R *κατάμπτ'* K *κατα***πτ'* ZnZo | *ἔβη σφῶιν* Bergk *ἔβητον* codd.: *κατάμεμπτος ἔβη* ΣL || **1697** ⟨*δ' αὖ*⟩ Dawe ⟨*τοι*⟩ Hartung | *ἄρ' ἦν τις ἦν* LV || **1698** *μηδαμῆ(ι) δὴ τὸ φίλον φίλον* codd.: corr. Brunck | *ὃ μηδάμ' ἔφυ φίλον ἦν φίλον* Blaydes | *δὴ* om. Y

ὁπότε γ' ἔτ' αὐτὸν ἐν χεροῖν κατεῖχον.
1700 ὦ πάτερ ὦ φίλος,
ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἵμενος·
οὐδ' Ἀχέρων ἀφίλητος ἐμοί ποτε
καὶ τᾶιδε μὴ κυρήσηι.
ΧΟ. ἔπραξεν ...
ΑΝ. ἔπραξεν οἷον ἤθελεν.
ΧΟ. τὸ ποῖον;
1705 *ΑΝ.* ἇς ἔχρηιζε γᾶς ἐπὶ ξένας
ἔθανε· κοίταν δ' ἔχει
νέρθεν εὐσκίαστον αἰέν,
οὐδέ πένθος ἔλιπ' ἄκλαυτον.
ἀνὰ γὰρ ὄμμα σε τόδ', ὦ πάτερ, ἐμὸν
1710 στένει δακρῦον, οὐδ' ἔχω
πῶς με χρὴ τὸ σὸν τάλαιναν
ἀφανίσαι τόσον ἄχος.
ὤμοι, γᾶς ἐπὶ
ξένας θανεῖν ἔχρηιζες, ἀλλ'
ἔρημος ἔθανες ὧδέ μοι.

1715 *ΙΣ.* ὢ τάλαινα, τίς ἄρα με πότμος

1699 *γ' ἔτ' αὐτὸν* Arndt *καὶ τὸν* **QRZn** *γε καὶ τὸν* rell. || **1702 sq.** *οὐδὲ γέρων ... κυρήσηις* codd.: corr. Dawe || **1703** *τᾶδε* **T** *τῶδε* **V** *τάδε* rell. || **1704** *ἔπραξεν*[1]] *ἔπραξεν οὖν* **T**: cf. 1677 || **1708** *ἄκλαυστον* **VQRA** || **1709** *ἀνὰ* Hermann *αἰεὶ* **QR** *ἀεὶ* rell. || **1710** *δακρῦον* Reisig *δάκρυον* **LKQRV** *δακρύον* **AU YZn** *δακρύρροον* **T** accentus in **Zo** non leg. || **1712** om. **ZnZo** | *τόσον* Arndt *τὸ σὸν δ'* **KQRV** *τοσόνδ'* rell. || **1713** *ὤμοι* Wecklein *(ἰώ) μοι* **T** s. l. *μὴ* **ZnZo** *ἰὼ μὴ* rell. || **1714** *ὧδ' ἐμοί* **Q** *ὧδ' ἐμοῦ* Blaydes || **1715** *πότμος* Reisig *πότμος αὖθις* $\mathbf{Q}^{ac}\mathbf{Q}^{2pc}$ *πότμος αὖθις ὧδ' ἔρημος ἄπορος* $\mathbf{Q}^{1pc}$ rell.: cf. 1735

ἐπιμένει σέ τ', ὦ φίλα,
πατρὸς ὧδ' ἐρήμας;
⟨⏑–⏑– ⏑–⏑–
–⏑⏑–⏑––⟩

1720 *ΧΟ.* ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυ-
σεν τὸ τέλος, φίλαι, βίου,
λήγετε τοῦδ' ἄχους· κακῶν
γὰρ δυσάλωτος οὐδείς.

ΑΝ. πάλιν, φίλα, συθῶμεν. στρ. β
1725 *ΙΣ.* ὡς τί ῥέξομεν;
ΑΝ. ἵμερος ἔχει με...
ΙΣ. τίς;
ΑΝ. τὰν χθόνιον ἑστίαν ἰδεῖν.
ΙΣ. τίνος;
ΑΝ. πατρός, τάλαιν' ἐγώ.
ΙΣ. θέμις δὲ πῶς τάδ' ἐστί; μῶν
οὐχ ὁρᾷς;
1730 *ΑΝ.* τί τόδ' ἐπέπληξας;
ΙΣ. καὶ τόδ', ὡς...
ΑΝ. τί τόδε μάλ' αὖθις;
ΙΣ. ἄταφος ἔπιτνε δίχα τε παντός.

1716 *ἐπαμμένει σέ τ', ὦ φίλα,* ⟨*τὰς*⟩ *πατρὸς,* lacuna post *πότμος* posita, Hermann || **1717** lacunam sequentem notavit Bergk || **1720** *ἔλυσεν* LKZnZoT *-σε* VQRAUY || **1721** *τὸ* del. Bergk | *φίλαι* Q[ac] *ὦ φίλαι* Q[1pc] rell. | *βίον* Dawe || **1722** *λήγετον* **T** || **1723** *γὰρ*] *γὰρ οὔτοι* **T** || **1724** sqq. personarum notas variis modis turbant codd.: verum ordinem praebet **T** || **1725** *ῥέξωμεν* LQZnZoT *-οιμεν* R[pc] || **1726** cf. 1739: lectio utrobique incertissima || **1726** *χθονίαν* AUY || **1728** *ἐγώ* Zo *ἔγωγε* rell. || **1729** *μῶν δῆτ'* **T**

	AN.	*ἄγε με, καὶ τότ' ἐπενάριξον.*	
	ΙΣ.	⟨‒ ‒	
	AN.	‒ ‒ ⏑ ‒ ⏑⟩	
	ΙΣ.	*αἰαῖ δυστάλαινα,*	
1735		*πῆι δῆτ' αὖθις ὧδ' ἔρημος ἄπορος*	
		αἰῶνα τλάμον' ἕξω;	
	XO.	*φίλαι, τρέσητε μηδέν.*	ἀντ. β
	AN.	*ἀλλὰ ποῖ φύγω;*	
	XO.	*καὶ πάρος ἀπέφυγε…*	
	AN.	*τί;*	
1740	*XO.*	*τὰ σφῶιν τὸ μὴ πίτνειν κακῶς.*	
	AN.	*φρονῶ…*	
	XO.	*τί δῆθ' ὅπερ νοεῖς;*	
	AN.	*ὅπως μολούμεθ' ἐς δόμους*	
		οὐκ ἔχω.	
	XO.	*μηδέ γε μάτευε.*	
	AN.	*μόγος ἔχει.*	
	XO.	*καὶ πάρος ἐπεῖχε.*	
1745	*AN.*	*τοτὲ μὲν ἄπορα, τοτὲ δ' ὕπερθεν.*	
	XO.	*μέγ' ἄρα πέλαγος ἐλάχετόν τι.*	

1733 *ἐπενάριξον* Elmsley *ἐξενάριξον* **K** *ἐνάριξον* rell. | lacunam indicavit Meineke || **1735** *πῆι* **K**, coni. Halm *ποῖ* rell. *ποῦ* Jebb || **1736** *τλάμον'* **QR**, coni. Hermann *τλάμων* rell. | *ἄξω* **K** *ἕξω* **QR** || **1737** sqq. Ismenae versus tribuit Bergk quos codd. Antigonae assignant || **1739** *ἀπέφυγε. AN. τί; XO. τὰ* Hermann *ἀπεφευγέτον* codd. || **1741** *ὅπερ νοεῖς* Graser *ὑπερνοεῖς* codd. || **1742** *μολοῦμ'* **T** || **1744** *ἐπεῖχε* Wunder *ἐπεί* codd. *ἐπήιει* Bothe || **1745** *ἄπορα* Wunder *πατέρα* **QR** *πέρα* rell. | *τότε μὲν ἄπορα, τάδε δ' ὕπερθεν* (vel *ὑπέρφευ*, quod iam coni. Blomfield) Blaydes || **1746** *ἐλαχέτην τι* Elmsley *ἐλάχετ' ἄτας* Blaydes

	ΑΝ.	*ναὶ ναί.*
	ΧΟ.	*ξύμφημι καὐτός.*
	ΑΝ.	*φεῦ φεῦ, ποῖ μόλωμεν,*
		ὦ Ζεῦ; ἐλπίδων γὰρ ἐς τίν' ἔτι με
1750		*δαίμων τανῦν γ' ἐλαύνει;*
	ΘΗ.	*παύετε θρῆνον, παῖδες· ἐν οἷς γὰρ*
		χάρις ἡ χρονία θεῶν ἄπο χεῖται,
		πενθεῖν οὐ χρή· νέμεσις γάρ.
	ΑΝ.	*ὦ τέκνον Αἰγέως, προσπίτνομέν σοι.*
1755	*ΘΗ.*	*τίνος, ὦ παῖδες, χρείας ἀνύσαι;*
	ΑΝ.	*τύμβον θέλομεν*
		προσιδεῖν αὐταὶ πατρὸς ἡμετέρου.
	ΘΗ.	*ἀλλ' οὐ θεμιτὸν κεῖσ' ἐστὶ μολεῖν.*
	ΑΝ.	*πῶς εἶπας, ἄναξ, κοίραν' Ἀθηνῶν;*
1760	*ΘΗ.*	*ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος*
		μήτε πελάζειν ἐς τούσδε τόπους
		μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν
		θήκην ἱερὰν ἣν κεῖνος ἔχει.
		καὶ ταῦτά μ' ἔφη πράσσοντα κακῶν

1748 *μέλωμεν* **LV** *μέλλομεν* **ZnZo** *μένωμεν* Schneidewin ‖ **1749** hiatus post *Ζεῦ* notabilis | *ἐς τίν' ἔτι με* Hermann *ἐς τί με* codd. ‖ **1750** *τὸ νῦν* **ZnZo** | *γ'* om. **Zo** *δ'* **Zn** ‖ **1751** sqq. choro tribuunt codd.: corr. Heath ‖ **1751** *λήγετε* Zakas | *θρῆνον* **KAY ZnT** *θρήνων* **K** s. l., rell. ‖ **1752** *χάρις ἡ χρονία θεῶν ἄπο χεῖται* Dawe *χάρις* (*χάριν* **V**) *ἡ χθονία ξυναπόκειται* (*συν-* **ZnZoT**) codd. ‖ **1754** *ὦ* om. **T** | *προσπίτνομεν* Par. gr. 2886 *προσπιτνοῦμεν* **T** *προσπίπτωμεν* **R** (divisim **Q**) *προσπίπτομεν* rell. ‖ **1755** *τίνας* Nauck | *χρείαν* Brunck ‖ **1757** *καὐταὶ* Meineke ‖ **1758** *κεῖσ' ἐστὶ* Brunck *κεῖσε* codd. *σοι κεῖσε* Tournebou *σφῶιν κεῖσε* Blaydes *κεῖσε μολεῖν* del. Bothe ‖ **1761** *μήποτε* **QR** | *εἰς* **QR** ‖ **1762** *μηδενὶ* repudiat Jebb ‖ **1764** *κακῶν* Hermann *καλῶς* codd.

1765 χώραν ἕξειν αἰὲν ἄλυπον.
ταῦτ' οὖν ἔκλυεν δαίμων ἡμῶν
χὠ πάντ' ἀίων Διὸς Ὅρκος.
ΑΝ. ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν κείνωι
ταῦτ' ἂν ἀπαρκοῖ· Θήβας δ' ἡμᾶς
1770 τὰς ὠγυγίους πέμψον, ἐάν πως
διακωλύσωμεν ἰόντα φόνον
τοῖσιν ὁμαίμοις.
ΘΗ. δράσω καὶ τάδε, καὶ πάνθ' ὁπόσ' ἂν
μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν
1775 καὶ τῶι κατὰ γῆς, ὃς νέον ἔρρει,
πρὸς χάριν, οὐ δεῖ μ' ἀποκάμνειν.
ΧΟ. ἀλλ' ἀποπαύετε μηδ' ἐπὶ πλείω
θρῆνον ἐγείρετε·
πάντως γὰρ ἔχει τάδε κῦρος.

1765 *ἄσυλον* Wecklein || **1766** *ἔκλυεν* Flor. Ricc. 34, coni. Elmsley *ἔκλυε* rell. || **1768 sq.** del. Nauck: 1777–1779 iam Ritter || **1771** *ἰόντε* Naber || **1772** paroemiacum requirit Bergk: *τοῖς ἡμετέροισιν ὁμαίμοις* Meineke || **1773** *καὶ τάδε δράσω* Blaydes | *ὁπόσ'* Porson *ὅσα* **RAUY** *ὅσ'* rell. *ὅσα γ'* ed. Lond. 1722 || **1774** *δράσειν* Blaydes || **1776** *οὐ* Hermann *οὐ γὰρ* codd. || **1777** *ἀπολαύετε* **Q**[ac]**RZo** | *μηδ'* Elmsley *μήτ'* codd. | *ἔτι* Blaydes || **1778** *θρήνων* **LVZnZo** || **1779** *τόδε* **K**

CONSPECTVS METRORVM

118–137 = 159–169

118/150	⏑ –⏑⏑– –⏓–	anc. + chor. + mol./cr.
119/151	–⏑⏑–⏑⏑–⏑– ⏑––	ibyc. + ba.
120/152	⏑– –⏑⏑–⏑–	glyc.
121/153	––– –⏓–	mol. + mol/cr.
122/154	––– –⏑–	mol. + cr.
123/155	⏑––	ba.
124/156	⏑––⏑⏑–⏑–	glyc.
125/157	–– –⏑⏑–⏑–	glyc.
126/158	–⏒–⏑⏑ –⏑–	glyc.
127/159	–⏒–⏑⏑–⏑–	glyc.
128/160	–⏑⏑–⏑–	dodr. A
130/161	–⏑⏑–⏑– ⏑––	dodr. A + ba.
131/163	⏑–– ⏑⏑–⏑–	glyc.
132/164	–⏓–⏑⏑–⏑⏒	glyc.
133/165	⏓– –⏑⏑–⏑– –	hipp.
134/167	⏑⏑– ⏑⏑– ⏑⏑– ––	anap. dim.
135/168	⏑⏑– ⏖– ⏑⏑– ⏑⏑–	anap. dim.
137/169	–– –– ⏑⏑– –	paroem.

176–187 = 192–206

176/192	––– ⏑⏑–– ⏑⏑––	ion. trim.
177/193	⏑⏑–– ⏑⏑––	ion. dim.
178a/194a	⏓–	chor. enopl. A
178b/194b	⏑⏑–⏑––	
179/195a	––	chor. enopl. A
180/195b	⏑⏑– ⏑––	
181/196	–– ⏑⏑–⏑–	teles.
–/197	⏑⏑⏑–⏑⏑–⏑–	glyc.
–/198	–– ––	2 sp.

–/199	⏑–⏑⏑–⏑–	teles.
182/200	⏑⏑⏑–⏑⏑–⏑–	glyc.
183/201	⏓––⏑⏑–⏑–	glyc.
–/202	–––⏑⏑––	pher.
184/203	–––⏑⏑–⏑–	glyc.
185/204	–––⏑⏑–⏑–	glyc.
186/205	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑–	ia. dim.
187/206	–⏑⏑–⏑––	aristoph.

208–253b

208	–⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑–	ia. dim.
209	⏑⏑⏑–⏑–⏑–	lekyth.
210	– – ⏑⏑–⏑–⏑̇	enopl. A
211	––⏑⏑–⏑– ⏑––	teles. + ba.
212	⏑⏑–– ⏑⏑––	ion. dim.
213	⏑⏑–– ⏑⏑––	ion. dim.
214	⏑⏑–– ⏑⏑–	ion. dim. cat.
215	⏑⏑–– ⏑⏑⏑̇	ion. dim. cat.
216	–⏑⏑–⏑⏑– ⏑⏑ ⏑–	hemiepes + cr.
217	⏑⏑– ⏑⏑– ⏑⏑––	paroem.
218	–⏑⏑–⏑⏑– ⏑⏑⏑–	hemiepes + cr.
219	⏑⏑– ⏑⏑– ⏑⏑– ⏑̇	paroem.
220	–⏑⏑–⏑⏑– ⏑⏑ ⏑–	hemiepes + cr. (*ἰού* extra metrum)
221	⏑⏑– ⏑⏑– ⏑⏑– –	paroem.
222	–⏑⏑–⏑⏑– ⏑⏑ ⏑–	hemiepes + cr.
223	⏑⏑– ⏑⏑– ⏑⏑– –	paroem.
224	–– –– –⏑⏑ ––	anap. dim.
225	⏑⏑– ⏑⏑– ⏑⏑– –	paroem.
226	–––– –⏑⏑ ––	anap. dim.
227	⏑⏑– ⏑⏑– ⏑⏑– –	paroem.
228–234	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram. × 6
235	–⏑⏑ –⏑⏑	dactyl. dim.
236	⏑–⏑– ⏑––	ia. dim. cat.
237	–⏑⏑–⏑⏑⏑̇	hemiepes
238	–⏑–⏑⏑–⏑⏑⏑	glyc.
239	–⏑⏑–⏑⏑– ––	hemiepes + sp.
240	–––⏑⏑–⏑––	hipp.

241	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
242	–⏑⏑– –⏑⏑̇	chor. + cr.
243–8	–⏔–⏕ –⏑⏑ –⏑⏑	dactyl. tetram. × 6
249	–⏑⏑– –⏑–	chor. + cr.
250–1	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram. × 2
252	–⏑⏑–⏑⏑–⏑–	ibyc.
253a	–⏑⏑– ⏑⏑ ⏑–	chor. + cr.
253b	–⏑–⏑––	ithyph.

510–520 = 521–533

510/521	––– ⏑⏑–– ⏑⏑––	ion. trim.
511/522	⏑⏑–– ⏑⏑––	ion. dim.
512/523	–– –– ⏑⏑– ⏑̇ ⏑–⏑⏑–⏑––	chor. enopl./paroem.
513a/524	⏓–⏑̇	mol. + ba.
513b/525	⏓–––⏑⏑–⏑––	anc. + hipp.
514/526	⏓–⏑⏑–⏑––	enopl.
515/527	––⏑⏑–⏑––	enopl.
516/528	⏑–⏑⏑–⏑––	enopl.
517/529	⏒ –⏑⏑– –⏑⏑– –	anc. + 2 chor. + anc.
518/530	– –––⏑⏑–⏑––	anc. + hipp.
519a/531 }	––	sp.
519b/532 }	–⏑ ⏑⏑ ––	cr. + sp.
520a/533a }	––	sp.
520b/533b }	––– –⏑⏑– ⏑–––	mol. + chor. dim. A

534–541 = 542–548

534/542	––⏑⏑⏑ ⏑–⏑–	ia. dim.
535/543a	⏓–⏑⏑⏑ ⏑–⏑–	ia. dim.
536/543b	⏑–⏑– –⏑–	ia. + cr.
537/544	⏑–⏑⏕ ⏑–⏑–	ia. dim.
538/545	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑–	ia. dim.
539/546	⏑–⏑– ⏑–⏑ ⏑⏑ ⏑–⏑–	ia. trim.
540/547	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
541/548	⏑– ⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑– ⏑––	ia. trim. cat.

668–680 = 681–693

668/681	–– –⏑⏑–⏑–	glyc.
669/682	–⏓–⏑⏑–⏑– ⏑––	phalaec.
670/683	⏒––⏑⏑–⏑–	glyc.
671/684	–⏒–⏑⏑–⏑⏓	glyc.
672/685	⏒––⏑⏑–⏑–	glyc.
673/686	–––⏑⏑––	pher.
674/687	⏒––⏑⏑–⏑–	glyc.
675/688	–––⏑⏑–⏑⏓	glyc.
676/689	–⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑	dactyl. tetram.
677/690	⏑–⏑– ⏑––	ia. dim. cat.
678/691	–––⏑⏑–⏑–	glyc.
679/692	–⏑–⏑⏑–⏑– ⏑––	phalaec.
680/693	––⏑⏑–⏑––	enopl.

694–706 = 707–719

694/707	––– ⏑⏑––	ion. dim.
695/708	⏑⏑–– ⏑⏑––	ion. dim.
696/709	––– ⏑⏑–– ⏑⏑––	ion. trim.
697/710	⏑⏑–– ⏑⏑––	ion. dim.
698/711	⏑–⏑– –⏑– ⏑–⏑̇	ia. trim. sync. cat.
699/712	––⏑– ⏑–⏑–	ia. dim.
700/713	⏑–⏑– –⏑– ⏑––	ia. trim. sync. cat.
701/714	––– ⏑⏑–– ⏑⏑––	ion. trim.
702/715	⏒–⏑– ⏔⏑– ⏑––	ia. trim. sync. cat.
703/716	––– ⏑⏑–– ⏑⏑––	ion. trim.
704/717	⏑–⏑⏑–⏑–	teles.
705/718	–––⏑⏑–⏑–	glyc.
706/719	–––⏑⏑––	pher.

833–843 = 876–886

833/876	⏑–⏑–	ia.
834/877	⏑– –⏑– ⏑––⏑–	dochm. dim.
835/878	⏑⏑⏑–⏑–	dochm.
836/879	⏓––⏑– ⏑⏑⏑–⏑–	dochm. dim.
837/880	⏒–⏑– ⏒–⏑– ⏒–⏑⏑̇	ia. trim.

838/881 ⏓–⏑– ⏓–⏑– ⏑–⏑– ia. trim.
839/882 ––⏑– ––⏑– ⏒–⏑– ia. trim.
840/883 ⏒–⏑– ⏓–⏑– ⏑–⏑– ia. trim.
841/884 ⏑––⏑– ⏑––⏑– dochm. dim.
842/885 ⏑⏑⏑–⏑– ⏑⏑⏑–⏑– dochm. dim.
843/886 ⏑––⏑– dochm.

1044–1058 = 1059–1073

1044/1059 ––⏑⏑–⏑– teles.
1045/1060 ––⏑⏑–⏑– teles.
1046/1061 ––⏑⏑–⏑– teles.
1047/1062 ––⏑– ––⏑– ia. dim.
1048/1063 ––⏑⏑–– reiz.
1050/1065 ⏓–⏑– –⏑⏑– ––⏑– ia. + chor. + ia.
1051/1066 ––⏑– ––⏑– ia. dim.
1052/1067 –⏑– ––⏑– ia. dim. sync.
1053/1068 ⏒–⏑– ––⏑– ia. dim.
1054/1069 –––⏑ –⏑⏑– chor. dim. B
1055/1070 –⏑⏑– ––⏑– chor. dim. A
1056/1071 ––⏑⏑–– reiz.
1057/1072 –– –⏑– ––⏑– sp. + ia. dim. sync.
1058/1073 –⏑⏑–⏓ adon.

1074–1084 = 1085–1095

1074/1085 ––⏑– ––⏑– ia. dim.
1075/1086 –– –⏑– sp. + cr.
1076/1087 ––⏑– –– ia. + sp.
1077/1088 ⏓–⏑– ––⏑– ia. dim.
1078/1089 ––⏑– ––⏑– ia. dim.
1079/1090 ⏒–⏑– –⏑⏑– – chor. dim. B + anc.
1080/1091 –⏑–– –⏑–– troch. dim.
1081/1092 –⏑–– –⏑–– –⏑–⏑ troch. trim.
1082/1093 –⏑⏑–⏑⏑– – hemiepes + anc.
1083/1094 –⏑–⏑–– ithyph.
1084/1095 ⏑–– –⏑– ⏑–⏒ ia. trim. sync. cat.

1211–1223 = 1224–1238

1211/1224	–––⏑⏑–⏑–	glyc.
1212/1225	–⏓–⏑⏑–⏑–	glyc.
1213/1226	–– –⏑⏑–⏑–	glyc.
1214/1227	–⏑⏑–⏑⏑–⏑–⏓	alc. decasyll.
1215/1228	⏒––⏑⏑–⏑–	glyc.
1216/1230	–⏒–⏑⏑–⏑–	glyc.
1217/1231	–––⏑⏑–⏑–	glyc.
1218/1232	–⏑–⏑⏑–⏑⏓	glyc.
1219/1233	⏑–⏑– ⏑–⏑–	ia. dim.
1220/1235	–⏑–⏑ ⏑⏑ ⏑–⏑ ⏑⏑ ⏑–⏑	troch. trim.
1221/1236	⏑⏑ ⏑ ⏑⏑⏓ ⏑⏑ ⏑–⏒	troch. dim.
1222/1237	⏔ ⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑	troch. dim.
1223/1238	⏑⏑ ⏑– ⏑––	ithyph.

1239–1248

1239	⏑–– –⏑– ⏑–⏑–	ia. trim. sync.
1240	–⏑– ⏑–⏑– ⏑––	ia. trim. sync. cat.
1241	–⏑⏑– –⏑⏑– ⏑––	chor. dim. + ba.
1242	–––⏑⏑––	pher.
1243	–––⏑⏑––	pher.
1244	– –⏑⏑–⏑⏑–⏑– –	anc. + alc. decasyll.
1245	–⏑⏑–⏑⏑– ––	hemiepes + sp.
1246	–⏑⏑– ––	chor. + sp.
1247	–⏑⏑– –––	chor. dim. A sync.
1248	– –⏑⏑–⏑– ––	teles. + sp.

1448–1456 = 1463–1471

1448/1463	⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑–	ia. dim.
1449/1464	⏑ ⏑⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑⏑⏑–⏑–	dochm. dim.
1450/1465	–⏑– ⏑––⏑–	cr. + dochm.
1451/1466	⏒–⏑– ⏑–⏑⏕	ia. dim.
1452/1467	⏑–⏑– ⏑–⏑–	ia. dim.
1453/1468	⏑–⏑– –⏑–	ia. dim. sync.

1454/1469 ⏑ ⏑⏑ ⏑– ⏑ ⏑⏑ ⏑̇ ia. dim. sync.
1455/1470 ⏑⏒⏒–⏑– ⏑––⏑– dochm. dim.
1456/1471 –⏑⏑– ––– chor. dim. A sync.

1478–1485 = 1492–1499

1478/1492 ⏑–⏑– ⏒–⏑– ia. dim.
1479/1493 ⏑––⏑– ⏒ ⏑⏑ ⏑⏑ ⏑ ⏒⏒ dochm. dim.
1480/1494 ⏓ ⏒⏒–⏓– ⏓⏒⏒–⏑– dochm. dim.
1481/1495 –⏑⏑–⏑– ⏑––⏑– dochm. dim.
1482/1496 ⏑–⏑– ⏑–⏑– ia. dim.
1483/1497 ⏑–⏑– ⏑–⏑– ia. dim.
1484/1498 ⏑––⏑– ⏑––⏑– dochm. dim.
1485/1499 –⏑⏑– –– dochm.

1556–1567 = 1568–1578

1556/1568 –⏑⏑–⏑– –⏑⏑–⏒– dochm. dim.
1557/1569 –⏑⏑–⏑–⏓̇ aristoph.
1558/1570 –⏑⏑–⏑– dochm.
1559/1571 –– –– –––⏒– 2 sp. + dochm.
1560/1572 ⏑⏑ ⏑– ⏑⏑⏑ ⏑⏑ ⏑– cr. + dochm.
1561/1573 ⏑⏑– ⏑⏑– anap.
1562/1574 ⏑–– –– dochm.
1563/1575a –⏑–⏑–⏑⏒̇ lekyth.
1564/1575b –⏑⏑–⏒– dochm.
1565/1576 ––⏑– –⏑– ia. dim. sync.
1566/1577 –⏑–⏑–⏑– lekyth.
1567/1578 ⏑–⏑– –⏑–⏑–– ia. + ithyph.

1670–1696 = 1697–1723

1670/1697 ⏓–– –⏑– ⏑–– ia. trim. sync. cat.
1671/1698 –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ dactyl. tetram.
1672/1699 ⏑⏓⏓⏑– ⏑ –⏑– ⏑–⏓̇ ia. trim. cat.
1673/1700 –⏑⏑ –⏑⏑ dactyl. dim.
1674/1701 –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ dactyl. tetram.
1675/1702 –⏑⏑ –⏑⏑ –⏑⏑ –⏑⏑ dactyl. tetram.
1676/1703 ⏒–⏑– ⏑–– ia. dim. cat.

1677/1704	⏑–⏑– –⏑– ⏑–⏑–	ia. trim. sync.
1678/1705	⏑–⏑– ⏑–⏑– ⏑–⏑–	ia. trim.
1679/1706	⏑⏑ ⏑– –⏑–	2 cr.
1680/1707	–⏑–⏑ –⏑–⏑	troch. dim.
1681/1708	–⏑–⏑ ⏑⏑⏑–⏑	troch. dim.
1682/1709	⏑⏑ ⏑– ⏑⏑ ⏑– ⏑⏑ ⏑–	3 cr.
1683/1710	⏑–⏑– ⏑–⏑–	ia. dim.
1684/1711	–⏑–⏑ –⏑–⏑	troch. dim.
1685/1712	⏖⏑– ⏑⏑ ⏑–	2 cr.
1686a/1713a	–– –⏑–	sp. + cr.
1686b/1713b	⏑–⏑– ⏑–⏑–	ia. dim.
1687/1714	⏑–⏑⏖ ⏑–⏑–	ia. dim.
1688/1715	–⏑–⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑	troch. dim.
1689/1716	⏖⏑–⏑–⏑–	lekyth.
1690/1717	–⏑–⏑––	ithyph.
1691/1718	⏑–⏑– ⏑–⏑–	ia. dim.
1692/1719	–⏑⏑–⏑––	aristoph.
1693/1720	–⏑⏑– ⏑–⏑–	chor. dim. A
1694/1721	–⏑⏑– ⏑–⏑–	chor. dim. A
1695/1722	–⏑⏑– ⏑–⏑–	chor. dim. A
1696/1723	–⏑⏑–⏑––	aristoph.

1724–1736 = 1737–1750

1724–5/1737–8	⏑–⏑– ⏑–⏑– ⏑–⏑–	ia. trim.
1726/1739	–⏑ ⏑⏑ ⏖⏑⏓	2 cr.
1727/1740	–⏕⏑– ⏑–⏑–	ia. dim.
1728/1741	⏑–̇⏑– ⏑–⏑–	ia. dim.
1729/1742	⏑–⏑– ⏑–⏑–	ia. dim.
1730/1743	–⏑–⏒ ⏑⏑ ⏑ –⏑	troch. dim.
1731/1744	⏖⏑–⏒ ⏑⏑ ⏑ –⏑	troch. dim.
1732/1745	⏑⏑ ⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑–⏑	troch. dim.
1733/1746	⏑⏑ ⏑⏖⏑ ⏑⏑ ⏑–⏑	troch. dim.
1734a/1747	––– –⏑–⏑	mol. + troch.
1734b/1748	–– –⏑–⏑	sp. + troch.
1735/1749	–– –⏑–⏑ –⏑ ⏑⏑ ⏑	sp. + 2 troch.
1736/1750	––⏑ –⏑––	troch. dim. sync.